1. Aliud est κατὰ τὴν πόλιν, aliud κατὰ πόλιν. Illud de una urbe dicitur, hoc de pluribus. infra c. 4. XIII. 22. *Act.* XV. 21. 36. *Esth.* IX. 17. *Tit.* I. 4. *Polybius* Leg. 46. παρῆσαν οἱ μὲν καθ' ἰδίαν, οἱ δὲ κατὰ πόλιν, οἱ δὲ κατὰ τὰς ἐθνικὰς συσσίσεις ἐγκαλοῦντες. 63. πῶς τὸ κοινὸν τῆς Βοιωτίας —— κατὰ πόλεις διεσκορπίσθη —— τὸ δὲ κατὰ πόλιν διελεῖν τοὺς Βοιωτούς. *Aristides* Panath. p. 170. Λακεδαιμονίοις κατὰ νῆσον καὶ πόλιν νικᾶν. Leuctric. II. τριήρεις —— αἵτερ ἓν καὶ ἐκώλυσαν τὴν Πελοπόννησον κατὰ πόλιν ληφθῆναι. *Plut.* Cleom. p. 817. F. e *Polybio:* εἰδὼς γὰρ εἰς τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν, ὡς φησιν, τοὺς Μακεδόνας. sed *Polyb.* p. 207. ἀντιγόνῳ παραχειμάζοντος ἐν τῇ τῶν ἀργείων πόλει. *Diodorus* S. XV. 38. μόνων δὲ Θηβαίων ἐπροσδεξαμένων κατὰ πόλιν γίνεσθαι τὰς σπονδὰς. 50. διὰ τὸ πᾶσιν ἀρέσκειν κατὰ πόλιν γίνεσθαι τοὺς ὅρκους. XVIII. 17. ἀνεκρίθησαν οἱ περὶ τὸν ἀντίπατρον, κατὰ πόλεις πρεσβεύειν· τῶν δὲ ἑλλήνων μὴ προσδεχόνλων τὰς κατὰ πόλιν διαλύσεις. XIX. 77. διέδωκε τοὺς στρατιώτας κατὰ πόλιν εἰς τὴν χειμασίαν. *Polybius* exc. p. 1421. σὺν δὲ τούτοις καὶ πλείους ἑτέρους ἐξηριθμηται κατὰ πόλιν ὁμολόγους. *Jos.* B. II. 10. 3. πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς καίσαρος εἰκόνας. B. IV. 10. 6. τὸ πρόθυμον τῶν δήμων, καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων. *Appian.* Mithridat. p. 356. καὶ κήρυγμα περιῆει, τοὺς ἐν ἀξιώσει κατὰ πόλιν εἰς ἡμέραν ῥητὴν πρὸς Σύλλαν ἅπαντᾶν εἰς ἔφεσον. B. C. V. p. 1077. ἐν Συρίᾳ τοὺς κατὰ πόλιν ἐξῄρει τυράννους. p. 1080. Συρίᾳ κατὰ πόλεις ὑπὸ τυράννων εἶχετο. oppidatim. *Dio Chrys.* XXXVII. p. 461. C. παρ' ἡμῖν —— καὶ κατὰ πόλιν. p. p. παρὰ πᾶσι.

2. δαιμόνια ἑπτὰ] *Plaut.* Amphitr. II. 2. 44. Quaeso quin tu istam jubes pro cerrita circumferri. Am. edepol quin facto est opus. Nam haec quidem aedepol *larvarum plena* est.

3. 2. *Macc.* XI. 1. *Plut.* Lyc. p. 40. E. τὰς τῶν ὀρφανῶν βασιλέων ἐπιτροπὰς.

XII. 15. *Bava Bathra* 1. פרנסה משילו pavit eam ex propriis facultatibus. *Tob.* IV. 7. 1. *Esr.* VI. 8. *Thucyd.* VII. 76. ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνε τε καὶ παρεμυθεῖτο. *Schol.* ἐκ τῶν δυνατῶν. VIII. 1. ὁμῶς δὲ ὡς ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ ἐκδίδοναι. *Schol.* τῶν δυνατῶν. *Pollux* III. 67. ἀπὸ τῶν ὑπαρχόντων εἰσφέρων, τὰ ὄντα καταναλίσκων εἰς τὸ δημόσιον. *Lysias* ap. Dionys. Hall. 27. πρόσοδον μὲν εὐδημίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων. *Aristid.* Panathenaic. p. 133. τὸ μὲν τηρεῖν τὰ ὑπάρχοντα δικαίας ἀρχὴν νομίσαντες εἶναι, τὴν δὲ τῶν ὄντων σῴζουσιν ἀφορμὴν τῶν μελλόντων ἀγαθῶν ποιησάμενοι. *Lysias* in Philonem. τῷ μὲν σώματι δ' ἀσθενείαν τινα γενομένην ἀδύνατος κατέσχε βοηθῆσαι —— ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγειλόμενος αὐτὸς ἢ χρήματ' εἰσενεγκεῖν, ἢ πλοῖα τινας. *Porphyr.* de Abstin. II. 16. πλείστου σφόδρα —— δ' εὐπορίαν τῶν ὑπαρχόντων. *Libanius* D. XL.

των αὐταῖς. Συνιόντ⊙ δὲ ὄχλυ πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς 4
αὐτὸν, εἶπε διὰ παραβολῆς· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν 5
τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐ-
ρανοῦ κατέφαγεν αὐτό· Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ 6
μὴ ἔχειν ἰκμάδα· Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι 7
ἀπέπνιξαν αὐτό. Καὶ ἕτερον ἔπεσεν ~ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑ- 8
κατονταπλασίονα. Ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ἐπηρώ- 9
των δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, τίς εἴη ἡ παραβολὴ αὕτη. Ὁ δὲ εἶπεν· 10
Ὑμῖν δέδο⊙ γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβο-
~εἰς λαῖς,

αὐταῖς] αὐτῶν D 2. Editio *Erasmi* 1. αὐτῷ 46.
4. Συνιόντ⊙] συνελθόντ⊙ D 13. 69. συναγιόντ⊙ 45. συνόντ⊙ 67.
πολλοῦ] παμπόλλ 14. Versio *Vulg.* κατὰ] + τὴν D.
διὰ παραβολῆς] παραβολὴν τοιαύτην πρὸς αὐτοὺς D 39. Codices *Latini.* + ἰδοὺ 74.
5. τοῦ σπεῖραι] — A a prima manu. σπεῖραι DK 42. 67. 72.
αὐτοῦ] ἑαυτοῦ A 3. 9. 11. 45. 50. 51. 57. 70. 73. 74. 89. 90. Editio *Complut.*
αὐτὸν] — D. παρὰ] ἐπὶ 40. 53.
τοῦ οὐρανοῦ] — D. Versio *Syr.* Codices *Latini.* 6. ἕτερον] ἄλλα D. & comm. 7.
πέτραν ℭ] + εὐθέως Versio *Syr.* ἰκμάδα] ἀκμάδα Evang. 2. a prima manu.
7. ἐν μέσῳ] μέσον D. μέσῳ 69. αἱ] — G.
8. ἐπὶ] εἰς AFGHKM 1. 3. 9. 10. 11. 27. 28. 29. 33. 42. 44. 50. 51. 52. 54. 55. 60. 64. 66. 67. 68. 69. 70. 74. 80. 83. 86. 90. Evang. 2. 5. 16. 19. 20. 24. probante *J. A. Bengelio.*
ἀγαθὴν] + καὶ καλὴν D. φυὲν] + καὶ D.
ταῦτα λέγων ἐφώνει, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω] — 60. 69. Evang. 2. 5. 11. 12. 13. 14. 15. 16. 18. 19. 20. 21. 24. translata sunt ad finem comm. 15. probante *J. Millio* prol. 1426.
9. λέγοντες] — DL 1. 33. Versio *Vulg. Syr. Copt.* probante *T. Beza*, *J. Millio* prol. 1407. + τὸ D.
εἴη] — L. Versio *Syr.* ἦν 74. 89. 90. ἡ παραβολὴ αὕτη] αὕτη ἡ παραβολὴ 1.

p. 858. A. εἰ μὲν γὰρ, ὦ πάτερ, ἅπαντες οἱ συγγενεῖς ἀπὸ τῶν ὄντων αὐτοῖς συμφέροντες ἐποίουν αὐτῷ τὴν οὐσίαν. *Plato* de Legg. VI. ὡς μὲν ἔν γέ τοι ἂν ἐπιτηδεύσατα ἐκ τῶν ὑπαρχόντων, ἡμῖν ταυτὶν εἰρήσθω. *Libanius* de Angariis. ἐκ τῶν ἐόντων αὐτοῖς τῶν ὀλίγων ἐπανορθῶσι τὰς οἰκίας. οἷς τε πάντα πολλὰ, καὶ γέλως τὰ τῆ Γύγε. Menander ap. *Theon.* progymn. 4. ἀνδρὸς πένητος υἱὸς, ἐκτεθραμμένος ἐκ ἐξ ὑπαρχόντων, ὁρῶν ἠσχύνετο τὸν πατέρα μικρ' ἔχοντα. *Porphyr.* de Abstin. II. 7. οἱ μὲν ἄθυτοι φαίνονται γενέσθαι τινες, οὐδεμίαν ἀπαρχὴν τῶν ὑπαρχόντων ποιέμενοι τοῖς Θεοῖς. *Polybius* IV. 3. δυσχερῶς ἔφερον —— τὰς ἀπὸ τῶν ἰδίων ὑπαρχόντων δαπάνας.

4. συνιόντος] *Dionys.* Hal. I. 34. ποταμὸν πλησίον ἀλφειῶ καὶ αὐτὸν ἱερὸν τῆ κρόνῳ νομίζοντες Ἠλεῖοι θυσίαις καὶ ἄλλαις τιμαῖς συνιόντες γεραίρουσιν, ἐν ὡρισμένοις χρόνοις. 63. δεχόμενοι τε τὰς ἔτι συνιόντας ἐκ τῆς φυγῆς. II. 28. τότε δ' εἰς ἄστυ συνιόντας ἀγοράζειν. 42. πολλῶν ἐπ' αὐτοὺς συνιόντων ἐνέκλιναν. III. 33. ὀλίγοι μὲν τὸ πρῶτον καὶ ἀφανῶς ἐξιόντες —— ἔπειτα δὲ πολλοὶ συνιόντες καὶ ἐκ τῆ φανεροῦ. IV. 8. συνιόντες τε πολλάκις οἱ πλεῖστον ἐξ αὐτῶν δυνάμενοι διελέγοντο πρὸς ἀλλήλους. 25. ἔνθα συνιόντες γυναιξὶν ὁμῶ καὶ τέκνοις. 42. ἵνα μὴ συνιόντες ἐπὶ τὸ αὐτὸ πολλοὶ βελὰς ἀπορρήτως μετ' ἀλλήλων ποιῶνται. 63. ἀεὶ τοὶ συνιόντες εἰς τὸν παρακείμενον τοῖς βασιλείοις τόπον. V. 2. τὰς θυσίας —— ἃς ἐποιοῦντο κοινῆ συνιόντες. 3. τὰς συνιόντας ἐκ τῆς πόλεως πρὸς αὐτὸν ὑποδεχόμενος. 6. συνιόντες δὲ πολλοὶ εἰς ὁμιλίαν. 35. συνιόντων εἰς τοὺς ἀγρούς. *Appollodor.* Bibl. III. 5. συνιόντες εἰς αὐτὸ πολλάκις. *Appianus* Punic. p. 50. συνιόντος δὲ τῆ πλήθους ἐς ἐκκλησιαν ἐπὶ πολλὰς ἡμέρας. *Dionys. Hal.* VI. 45. οἱ πένητες οὐκέτι κρύφα ἤτε νύκτωρ ὡς πρότερον, ἀλλ' ἀναφανδὸν ἤδη συνιόντες. VII. 14. κατά τε συγγροφὰς καὶ ἑταιρίας ὀλίγοι μὲν συνιόντες τὸ πρῶτον, ἔπειτα ἀθρόοι. IX. 28. συνιόντες πρὸς ἀλλήλους. *Herodot.* I. 83. τῶν μὲν αὐτόθεν, τῶν δὲ ἀπὸ Στρύμονος ποταμῶ συνιόντων. *Porphyr.* de Abstin. IV. 4. τὴν τῶν συσσιτίων κατασκευὴν, ὥστε δειπνῶ μετ' ἀλλήλων συνιόντας. V. Pythag. διδασκαλεῖον ἦν ᾧ Σάμιοι περὶ τῶν κοινῶν συνιόντες βελεύονται. *Jamblich* V. Pythag. 18. τοὺς δὲ ἑτέρους ἰδίας μὲν κτήσεις ἔχειν ἐκέλευσε, συνιόντας δὲ εἰς ταυτὸ σχολάζειν ἀλλήλοις. 35. μετὰ δὲ ταῦτα συνιέντων [l. συνιόντων] τῶν πολλῶν. *Sextus Empir.* a. Phys. II. 304. κατὰ τὴν τοῦ ἑνὸς καὶ ἑνὸς συνέλευσιν τετρὰς γενήσεται δυοῖν μὲν νοουμένων τῶν συνιόντων. D. congregato. *Castalio* confluente. al. cocunte, Versio *Vulg.* cum conveniſſent. *Plat.* Cratylo p. 283. A. ὅταν δὲ συνιέναι λέγῃ, ταυτὸν πανταπασι συμβαίνει τὸν ἐπισάσθαι λεγομένου, συμπορεύεσθαι γὰρ λέγει τὴν ψυχὴν τοῖς πράγμασι τὸ συνιέναι. *Longus* I. στρέφεται μὲν ἡ ναῦς καὶ τῶ κλύδωνος συνιόντος ἀπόλλυται. fluctu concurſante.

ἐπιπορευομένων] *Dionys. Hal.* X. 43. οἱ δὲ ἐξελθόντες ἐκ τῆ στρατοπέδου, δι' ὅλης ἡμέρας ἐπιπορευθέντες, ἑσπέρας καταλάβουσης παῆσαν εἰς τὴν πόλιν, ἑδόντος ἐξαγγείλαντος αὐτῶν τὴν ἔφοδον. *Plut.* Apophth. Lac. p. 235. C. πολλὰς δ' ἐπιπορεύομενος τόπους. Lycurg. p. 56. F. τοῖς ἀγροῖς ἐπιπορεύομενοι. p. 58. C. τὸν Ἡρακλέα τὴν οἰκουμένην ἐπιπορεύεσθαι. Arat. p. 1030. B. καὶ Φόρυβος ἦν τῶν ἐπιπορευομένων. *Maximus Tyr.* XXXII. 1. γῆν ἄξενον ἐπιπορευόμενος.

6. *Etymol.* & Lex. MS. ἰκμὰς, ἡ ὑγρὰ σαγὴν ἡ λιπαρότης. *Hesychius.* ἰκμάδα, σαγόνα, ὑγρασίαν. ἄνικμος, ξηρὰ, ἰκμάδα, ὅ ἐσιν ὑγρασία, μὴ ἔχουσα.

7. συμφυεῖσαι] *Plato* Sympos. εἰ γὰρ τῦτο ἐπιθυμεῖτε, ἐθέλω ὑμᾶς συντῆξαι καὶ συμφῦσαι εἰς τὸ αὐτὸ, ὥστε δύο ὄντας ἕνα γεγονέναι. *Philo* de Vit. Mos. T. 2. p. 174, 12. ἡ ψαμμὸς καὶ ἡ σπορὰς αὐτῆς ὑσία συμφυεῖσα ἠνώθη. de Legg. Special. p. 319. 11. τὰ μὲν ἔτι κατὰ γαστρὸς παρεχόμενα τῇ μήτρᾳ, τῶν κυσῶν εἶναι μέρη λέγεται, παρά τε φυσικοῖς ἀνδράσι —— καὶ παρ' ἰατροῖς τοῖς δοκιμωτάτοις —— τὰ δ' ἀποκυηθέντα τῆς τε συμφυΐας ἀπέζευκται, καὶ διῴρισμένα καθ' αὐτὰ ζῶα γέγονε. *Lucian* D. Mort. 16. 4. ἐκτὸς εἰ μὴ ὥσπερ ἱπποκένταυρος τις ἦτε, εἰς ἓν συμπεφυκότες ἄνθρωπος καὶ θεός. *Theophrast.* de Caus. Plant. V. σύμφυτον γὰρ πᾶν τὸ ζῶον τῷ ζῶντι, καὶ μάλιστα ὁμογενὲς, ὅταν ἀφελκωθῇ καὶ γένηται μία φύσις. & Hist. Plant. IX. 2. ἐπὶ τὸ ξύ-

11 λαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. Ἔστι δὲ αὕτη ἡ παραβολή·
12 Ὁ σπόρος, ἐστὶν ὁ λόγος τοῦ Θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδόν, εἰσὶν οἱ ἀκούοντες· εἶ-
τα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες
13 σωθῶσιν. Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἱ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ
οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἱ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.
14 Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλού-
15 του καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι. Τὸ δὲ ἐν τῇ καλῇ
γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρπο-
φο-

10. ὁ δὲ] + Ἰησοῦς Verſio *Goth.*
εἶπεν] ἔφη αὐτοῖς 1. + αὐτοῖς 69. Verſio *Syr.* prior, & poſterior in margine. *Copt.*
γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ] τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ γνῶναι D.
παραβολαῖς] + λαλῶ 13. + λέγεται Verſio *Syr.* βλέποντες] ἴδωσι DL 1.
ἀκούοντες] ἀκούσαντες A. + ἀκούσωσι καὶ 13. 69. + μὴ ἀκούσωσι F. Verſio *Copt. Syra* poſterior in margine.
μὴ poſterius] μηδὲ F. Verſio *Syra* poſterior in margine.
συνιῶσιν] συνίωσιν G 36. 72. συνῶσιν 1. ubique. 11. λόγος] + ὁ D.
12. ἀκούοντες] ἀκούσαντες 14. 42. probante *Pricaeo.* ἀκολουθοῦντες D. at in Verſ. Latina: qui audiunt.
+ τὸν λόγον Verſio *Syr. Copt. Æthiop. Arab.* εἶτα] ὧν D.
τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν] ἀπὸ τῆς καρδίας αὐτὸν τὸν λόγον D. Codices *Latini.*
13. τὴν πέτραν] τὴν πέτραν DF. *Origenes* exh. ad Martyr.
οὗτοι] — D. Verſio *Syr.* 14. οἱ] + τὸν λόγον 1. Verſio *Syr. Armen.* Cod. *Lat.*
ἀκούσαντες] ἀκούοντες K 33. 64. 72. Editio *Eraſmi* 1. *Aldi.* Cod. *Lat.* καὶ πλούτου] πλούτου D 64. 69.
ἡδονῶν] ὑπὸ ἡδονῶν A. πορευόμενοι] — 51. Verſio *Syr.*
15. ἐν τῇ καλῇ γῇ] εἰς τὴν καλὴν γῆν D. Verſio *Vulg. Syr. Origenes* l. c. οὗτοι] — 52. 59.
εἰσιν] — 52. καλῇ C] — D.
ἀκούσαντες] ἀκούοντες 69. Codices *Latini.* λόγον] + τοῦ θεοῦ D.
καρποφοροῦσιν] τελεσφοροῦσιν L. καρπὸν φέρουσιν 69.

ξύλον ἀδύνατον συμφῦναι, καὶ ἓν γενέσθαι πάλιν. *Euripid.* Andromach. 4. ἄγαν γ' ἔφηκας γλῶσσαν εἰς τὸ σύμφυτον. *Ariſtot.* de Rep. II. 3. ἴσμεν λέγοντα τὸν ἀριστοφάνην, ὡς τῶν ἐρώντων διὰ τὸ σφόδρα φιλεῖν ἐπιθυμούντων συμφῦναι καὶ γενέσθαι ἐκ δύο ὄντων ἀμφοτέρους ἕνα. *Ariſtides* p. 11. Gigantes terrigenae & Minerva coeleſtis: πρὸς τοὺς ἐκείνων συμφύτους ὄφεις —— τὸν αὐτῆς σύμφυτον κόσμον, καὶ τὸ παρ' αὐτῆς ἀντεπάγαγε πῦρ. p. 16. τοὺς συνεχεῖς καὶ συμφύτους ἐχθρούς. —— ἀφροσύνη, ἀσέλγεια, δειλία, ἀταξία. *Æn.* IX. 382. denſi ſentes.

13. *Thucyd.* IV. 16. δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον, ἐγίγνοντο σπονδαὶ τοιαίδε. *Herodot.* VII. 102. ἐκ ἐστὶ ὅκως κοτε σοὺς δέξονται λόγους, δουλοσύνην φέροντας τῇ ἑλλάδι. VI. 13. οἱ Σαμίοι ὧν —— ἐδέκοντο τοὺς λόγους —— ὁ δὲ ἀνάκης, παρ' ὃ τοὺς λόγους ἐδέκοντο.

14. *Demoſth.* Epitaph. τῶν κατὰ βίον ἡδονῶν ἀπολαύσεις.

πορευθέντες] *Matth.* IX. 13. XI. 4. XXV. 16. 2 *Sam.* III. 1. XV. 12. ſenſim & paulatim proceſſu temporis. *Jo.* XV. 16. *Prov.* IV. 18. *Eſth.* IX. 4. *Jon.* I. 11.

τελεσφορῆσι] *Euſtath.* in Od. ξ. p. 548, 28. δῆλον δὲ, ὅτι καὶ ὁ λόγος τελέσφορος τροπικῶς ὁ εἰς ἔργον ἀπιὼν. *Plut.* de lib. educat. p. 2. E. δένδρα ὀλιγωρηθέντα —— ἄκαρπα καθίσταται, τυχόντα δὲ ὀρθῆς παιδαγωγίας ἔγκαρπα γίνεται καὶ τελέσφορα. *Dioſcorid.* ἀτελεσφόρητα δένδρα. *Strabo* II. p. 126. A. ὅπου μηδὲ φύεται ἄμπελος, ἢ μὴ τελεσφορεῖ· ἐν δὲ τοῖς νοτιωτέροις —— τελεσφορεῖ, ἐν μικροκαρπίᾳ δὲ. *Artemid.* I. 17. γυναικὶ μὲν νέᾳ συλλαβεῖν σημαίνει καὶ τελεσφορῆσαι, καὶ ἀποτοκεῖν. *Longin.* S. 14. ὥσπερ ἀμβλῶσθαι πρὸς τὸν τῆς ὑστεροφημίας ὅλως μὴ τελεσφορέμενα χρόνον. *Arrian.* Epictet. IV. 8. ἕτω καρπὸς γίνεται κατορυγῆναι δεῖ, χρόνῳ τὸ σπέρμα κρυφθῆναι, κατὰ μικρὸν αὐξηθῆναι, ἵνα τελεσφορηθῇ. ἂν δὲ πρὸ τοῦ γόνυ φῦσαι τὸν σάχυν ἐξενέγκῃ, ἀτελὴς ἐστι. *Sophocl.* Electr. 647. εἰ μὲν πέφυκεν ἐσθλὰ, δὸς τελέσφορα. *Joſ.* de Macc. 13. ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες, καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες, καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες, καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων. *Joſ.* A. I. 6. 3. νικᾷ τὸ καρπὸν τελεσφορηθέντος καθ' ὥραν ἐτύγησε. III. 11. 6. ἐγκύμων τε γίνεται καὶ τελεσφορεῖται κατὰ τὴν γαστέρα. *Heſychius.* τελεσφόρος, ὁ τελεσφορῶν καθ' ὥραν τοὺς καρποὺς, ἢ ὁ τελείους αὐτοὺς φέρων.

καλῇ καὶ ἀγαθῇ] *Plut.* de profect. Virt. p. 85. C. καλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν. *Ariſtot.* M. Moral. II. 9. ἐστι μὲν ἓν ὃ κακῶς λεγόμενον τύνομα ἐπὶ τῶν τελέως σπουδαίων ἡ καλοκἀγαθία. —— καλὰ τὰς ἀρετὰς, ἀγαθὰ, ἀρχὴν, πλοῦτον, δόξαν, τιμὴν. —— ᾧ τ' ἀγαθὰ πάντα ἴυτα ἀγαθά ἐστιν, καὶ ὑπὸ τούτων μὴ διαφθείρεται, οἷον ὑπὸ πλούτου καὶ ἀρχῆς, ὁ τοιοῦτος καλὸς καὶ ἀγαθος. *Diogenes L.* Solon. I. 56. ἐζήλευν καλοὶ κ' ἀγαθοὶ γενέσθαι κατὰ πόλεμον. *Socrat.* II. 42. ἔπιε τὸ κώνειον πολλὰ καλὰ κ' ἀγαθὰ διαλεχθείς. *Zeno* VII. 101. λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι. *Cic.* Paradox. I. quod honeſtum ſit, id ſolum bonum eſſe —— ſi quid recte fit, & honeſte, & cum virtute, id bene fieri vere dicitur --- laudabile & praeclarum. *Plat.* Gorg. τὸν μὲν γὰρ καλὸν καὶ ἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναι φῆς, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. *Demoſth.* Epiſt. ἀλλ' ὑπῆρχεν αὐτοῖς πρὸς ἅπασι τοῖς ἄλλοις καλοῖς κ' ἀγαθοῖς καὶ δικαιότατοις εἶναι.

κατέχουσι] 1. *Cor.* XI. 2. XV. 2. 1. *Theſſ.* V. 21. *Heb.* III. 6. 14. X. 23. *Dionyſ. Hal.* IV. 29. καθέξεις, οὓς ἂν ἀκούσῃς, λόγους ἢ σιωπᾶν ἄμεινον ἐσί μοι. —— κελεύσαντος δὲ Ταρκυνίου λέγειν, ἃ βούλεται, καὶ περὶ τοῦ καθέξειν ἐν ἑαυτῷ τοὺς λόγους πίστεις ἐπιθέντος δι' ὅρκων. *Theophraſt.* Char. 26. καὶ τῶν ὁμηρικῶν ἐπῶν τοῦτο ἓν μόνον κατέχειν. *Athenaeus* I. p. 5. E. ἐγὼ κατέχω τινὰ ὀψόφαγον. & VI. ἐδὲ τὸν ἀριθμὸν τῶν ἀσμάτων κατέχειν. *Lycophr.* in Menedemo. δεῖπνον ἐδὲν τοιοῦτον κατέχω δεδειπνηκώς.

καρποφορῆσι] *Anthol.* I. 6. 1. κἢν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω, ὅσσον ἐπισπεῦσαι σοί, τράγε, θυομένῳ. *Sueton* Domitian. 14. *Diodor.* S. III. 61. ἀγρίας ἀμπέλους —— ὅταν καρποφορῇ καὶ τοὺς βότρυας πεπαίνῃ —— ἄμπελον —— λαμβάνουσαν τὴν αὔξησιν καρποφορεῖν τὸν οἶνον.

φοροῦσιν ἐν ϛωμονῇ. Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς· Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσε)· οὐδὲ ἀπόκρυφον ὃ ϐ γνωσθήσε), ϗ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γ' ἂν ἔχῃ, δοθήσε) αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, ϗ ὃ δοκεῖ ἔχειν, ἀρθήσε) ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ ϗ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σϐ ϗ οἱ ἀδελφοί σϐ ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μϐ ϗ ἀδελφοί μϐ, οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, ϗ ποιοῦντες αὐτόν. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, ϗ αὐτὸς ἐνέβη εἰς πλοῖον, ϗ οἱ μαθηταὶ αὐτοῦ· ϗ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ ἀνήχθησαν. Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε· ϗ κατέβη λαίλαψ ἀνέμου εἰς τὴν λίμνην· ϗ συνεπληροῦντο, ϗ ἐκινδύνευον. Προσελθόντες δὲ διήγειραν αὐτὸν, λέ-

ὑπομονῇ] + πολλῇ 13. 38. 69. Evang. 13. 18. 21. + ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν ἀκούετω E. in ora. FHM 1. in ora. 2. 10. 11. 12. 13. 16. 27. 35. 36. 37. 40. 44. 47. 48. 52. 53. 55. 59. 60. 62. 64. 76. 80. 83. & Evangeliſtaria ad c. 8. citata. Editio *Complut.* + ταῦτα λέγων ἔφη, ὁ ἔχων ὦτα ἀκούειν ἀκούετω 57. 69. ὁ ἔχων ὦτα ἀκούετω 46. 50. 54. 56. 58. 61. 86. & in ora: *ἰσέον ὅτι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, τὸ ταῦτα λέγων ἐφώνει, οὐ λέγει, ἀλλ' ὑπερϐαίνει.*

16. δὲ] — 36. 39. 40. 51. 53. 63. 66. 71. 80. Evang. 20. Verſio *Syr. Copt. Theophylactus.*
αὐτὸν] + ἐν 3. 9.
ὑποκάτω] + τὴ D. 3.
λυχνίας] τὴν λυχνίαν DK 2. 42. 63. 68. 72. Evang. 20. Editio *Eraſmi* 1. τὴ λυχνίας 80. 90.
ἐπιτίθησιν] τίθησιν FKL 1. 71. 99. τίθει D. ἵνα] + πάντες Verſio *Syra.* Cod. *Latini.* ἐν ᾧ Evang. 21.
εἰσπορευόμενοι] πορευόμενοι 71. βλέπωσι τὸ φῶς] τὸ φῶς βλέπωσι 1.
17. Φανερὸν γενήσεται] Φανερωθήσεται 1. 40. 72. φανερὸν ἔσται C. ὃ οὐ] + μὴ L. ex emendatione.
ὃ οὐ γνωσθήσεται] ἀλλὰ ἵνα γνωσθῇ D. Cod. *Lat.* γνωσθήσεται] γνωσθῆ L.
18. βλέπετε] βλέπεις 63. ἀκούεις] + ⁊ προσεθήσεται ὑμῖν τοῖς ἀκούουσι 13. 69.
ᾧ ἂν] ἂν ᾧ L.
ἂν] ἐὰν AG 36. 59. 61. 62. 72. in ora. 80. 83. 89. 90. Editio *Complut. Colinaei.* poſterius 59. 61. 62. 89. Editio *Stephani* 1. 2. *Bengelii.* ἂν ἔχῃ] ἔχει 44. ab ἔχῃ ad ἔχῃ — 1.
ϗ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ] ἀρθήσεται ἀπ' αὐτοῦ ϗ ὃ δοκεῖ ἔχειν D.
19. παρεγένοντο] παρεγένετο D 71. παρεγίνοντο 38. ex emendatione. Evang. 2.
ἡ μήτηρ ⁊ οἱ ἀδελφοὶ αὐτοῦ] — *Marcion* teſte *Epiphanio.*
μήτηρ] + αὐτοῦ D 69. 80. 106. Verſio *Syr.*
ἠδύναντο] ἐδύναντο E 23. 72. Editio *Complut. Eraſmi* 1. *Plantini.*
συντυχεῖν] συλλαλῆσαι Verſio *Syr.* 20. ϗ ἀπηγγέλη] ἀπηγγέλη δὲ DL 33. 69. Verſio *Copt.*
ἀπηγγέλη] ἀπηγγέλθη 47. 56. 58. 61. Editio *Eraſmi* 3. 4. 5. ἀπηγγέλλη Editio *Eraſmi* 1. 2.
ἀπηγγέλη αὐτῷ λεγόντων] εἶπον αὐτοῦ Verſio *Syr.* αὐτῷ] αὐτῶν 4. 6.
λεγόντων] ὅτι DL 1. Verſio *Goth.* Codices *Latini.* —— Colb. Editio *Eraſmi* 1. *Ald.* Verſio *Vulg. Copt.*
ἑστήκασιν ἔξω] ἔξω ἑστήκασιν D. ἰδεῖν σε θέλοντες] ζητοῦντες σε D.
21. ἀποκριθεὶς] — 1. πρὸς αὐτοὺς] αὐτοῖς CD. + ⁊ D 45. 53. 69.
μου prius] — 1. ϗ prius] + οἱ D. 45. 53. 69. ἀκούοντες] ἀκέσαντες H.
αὐτὸν] — ADL 1. 3. 9. 33. 34. 36. 38. 39. 42. 56. 57. 58. 63. 67. 72. 87. Editio *Eraſmi* 1. *Aldi.* Verſio *Vulg. Armen. Syra* poſterior, *Æthiop.* probante *J. A. Bengelio*, & *J. Millio* prol. 1465.
ϗ ποιοῦντες αὐτὸν] — 61.
22. ϗ ἐγένετο] ἐγένετο δὲ ADK 1. 27. 29. 33. 42. 69. 72. 73. 86. 106. Verſio *Vulg. Copt. Goth. Syr. Chryſoſtomus* in Matth. H. 28. ϗ αὐτὸς ἐνέβη] ἀναβῆναι αὐτὸν D.
αὐτὸς] + ὁ Ἰησοῦς F. —— Colb.

16. *Servius* ad Æneid VI. 724. de lucerna: ſed ſi qua re tecta fuerit.

19. *Heſychius.* συντυχια, συνέντευξις. Verſio *Vulg.* adire eum. D. contingere ei. *Caſtalio*: cum eo congredi. *Herodot.* IV. 14. συντυχεῖν τε οἱ ἰόντι ἐπὶ κυζικῆ, καὶ ἐς λόγους ἀπίκεσθαι.

20. ἰδεῖν] *Thucyd.* IV. 125. καὶ τὸν Περδίκκαν τὸ πρῶτον ἐκ αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδα ἰδεῖν, ἄπωθεν γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο, προαπελθεῖν. *Schol.* πρὶν διαλεχθῆναι τῷ Βρασίδᾳ· ἔτω γὰρ οἱ ἀττικοὶ λέγεσι, ὡς τὸ ἰδεῖν τι σε ἐϐουλόμην, ἀντὶ τοῦ διαλεχθῆναι σοι τι. *Lucian.* D. Nept. & Merc. II. ἐσιν, ὦ ἑρμῆ, νῦν ἐντυχεῖν τῷ Διΐ· ε. οὐδαμῶς, ὦ Ποσειδον. Π. ὅμως προσάγγελλον αὐτῷ. ε. μὴ ἐνόχλει, φημι, ἄκαιρόν γαρ, ὥσε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι. *Rom.* I. 11.

22. ἀνήχθησαν] *Hortus Adonidis* p. m. 18. b. ἀναϐαίνειν, ἔτω καὶ ἀνάγεσθαι τὸ ἐκ τῆ λιμένος ἀναπλέειν, ἢ τὸ ἀνάπαλιν καταπλέειν τι καὶ κατάγεσθαι· ὡς ἄνω γῆς ἐσιμένε καὶ ἔτως ἀναϐαινομένε τῆ πλεομένε ὕδατος, διὰ τὸ ὑψῆ κεῖσθαι. vid ſupra V. 11. *Demoſth.* pro Cor. ἃ τρίηρης αὐτῆ κατελείφθη μὴ δυναμένη ἀνάγεσθαι. *Xenoph.* Hell. 1. πυθόμενος ὅτι αἱ νῆες ἐξ ἀβύδε ἀπηγμέναι εἶεν εἰς κυζικὸν —— οἱ δ' ἀνήγοντο ἐπ' αὐτὸν κ. ναυσὶν. Vide *Matth.* IV. 1. *Euſtathius* Il. ζ. p. 478, 5. ὁ γὰρ ἐκεῖθεν ἥκων εἰς τὸν ναυσταθμὸν καταϐαίνειν, καὶ κατάγεσθαι, καὶ κατέρχεσθαι λέγεται κατὰ κυριολεξίαν· ἀκολέθως δὲ πάλιν ὁ ἐκεῖθεν πλέων —— ἀναϐαίνει, καὶ ἀνάγεται, ὥσπερ καὶ ἀναπλεῖ. *Herodot.* III. 109. ἀναχθέντες ἐκ τῆς κρωτώνης οἱ Πέρσαι. IV. 141. ἀναχθέντες ἐκ τῆς νήσε ἔπλεον. *Lucianus* Amor. 10. ἐπεὶ καιρὸς ἦν ἀνάγεσθαι, σύμπλες ἐθελήσαντας αὐτὸς ἐπειγόμην. *Schol.* ἀνάγεσθαι λέγομεν τὴν ναῦν, ὅτε ἀπὸ γῆς εἰς πέλαγος ἔρχεται. *Lyſias.* τῇ δὲ προτεραίᾳ ἡ ἀνήγετο. *Plut.* Cat. p. 786. E. ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ.

23. ἐκινδύνευον] *Æſchin.* ἐκινδυνεύσαμεν ἀπολέσθαι. *Plut.* Oth. p. 1069. B. ἐκινδύνευσεν μικρὸν (l. μικρῷ) ἐλθόντας ἀνελεῖν αὐτὸν. *Arrian. Epictet.* III. 27. p. 372. Socrates στρατεύεσθαι μὲν ὁπότ' ἤδει, πρᾶτος ἀπῆει,

λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα. Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ
25 καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη. Εἶπε δὲ αὐτοῖς· Πῦ
26 ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗ-
27 τός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; Καὶ κατ-
έπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας. Ἐξελ-
28 θόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμό-
νια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς
28 μνήμασιν. Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε·
29 Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου μή με βασανίσῃς. Παρήγγει-
λε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις συνη-
ρπάκει αὐτόν· καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος· καὶ διαῤῥήσσων τὰ δε-

ἐνέβη] ἀνέβη FL 2. 36. 37. 38. 48. 60. 69. 71. 74. 83. 86. 90. Editio *Eraſmi*, *Aldi*, *Colinaei*, *Bogardi*. *Theophylactus*. + ὁ Ἰησοῦς GH 2. 12. 44. 52. 80. Verſio *Syr.* εἰς] + τὸ M 69. 86. 87. 106.
καὶ ἀνήχθησαν] — Verſio *Syr.* 23. ἀνέμου] + πολλὴ D.
καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον] ἐπὶ τὸ πλοῖον ἤμελλε βυθίζεσθαι Verſio *Syr.*
συνεπληροῦντο] συνεπληρῶτο 28. 74. + τὸ πλοῖον 28. ἐκινδύνευον] συνεκινδύνευον 69.
24. προσελθόντες δὲ] ἐπὶ προσελθόντες K 42. 66. 72.
διήγειραν] διήγειρον Evang. 1. ἤγειραν 27. 46. 52. 66. ἐπιστάτα, ἐπιστάτα] κύριε, κύριε D. Verſ. *Saxon.* ἐπιστάτα] — 13. 46. 52. Evang. 2. 21. Editio *Complut. Plantin. Genev.* Verſio *Copt. Vulg. Cyrillus* Act. Eph. V. probante *J. Millio* prol. 1102. + σῶσον 73. ἐγερθεὶς] διεγερθεὶς 106.
τοῦ ὕδατος] — D. *Marcion.* t. Epiphanio. καὶ ἐπαύσαντο] — 44.
ἐπαύσαντο] ἐπαύσατο FG 1. 2. 4. 6. 40. 52. 53. 63. 67. Editio *Eraſmi* 1. *Aldi*. Verſio *Vulg. Cyrillus* l. c.
γαλήνη] + μεγάλη 1. 4. 5. 6. 15. 27. 34. 36. 38. 42. 53. 65. 68. 72. Verſio *Syra* poſterior cum aſteriſco, in margine notat: Non in omnibus exemplaribus reperitur. *Æthiop. Arab.* Codices *Latini*.
25. εἶπε δὲ] ἐπὶ εἶπεν I. 33. 60. Evang. 18. Verſio *Syr. Copt.* ἐστιν prius] — A 1. 42. 63. 72.
φοβηθέντες δὲ] οἱ δὲ φοβηθέντες L. Verſio *Syr.* Codices *Latini*. ἐθαύμασαν] ἐθαύμαζον 1.
οὗτός ἐστιν] ἐστιν οὗτος 69. ἐπιτάσσει] + ἐπὶ τῷ κλύδωνι Verſio *Syr.*
καὶ τῷ ὕδατι] — 51.
26. κατέπλευσαν] κατέπλευσαν δὲ D. Codd. *Latini*. καταπλεύσαντες 13. 69.
Γαδαρηνῶν] Γερασηνῶν D. Verſio *Vulg. Syra* poſterior in margine. Γεργεσηνῶν L 1. 33. Verſio *Copt. Armen. Æthiop. Arab. Epiphanius*, H. 66. probante *J. Millio* prol. 1493.
ἀντιπέραν] πέραν M 44. 71. 86. ἀντίπερα ADGHK 1. 3. 42. 45. 46. 51. 52. 53. 61. 69. 70. 72. 73. 74. 89. 90. Editio *Eraſmi*. *Aldi*, *Colinaei*, *Bogardi*, *Heſychius*, *Theophylactus Ed.*
27. ἐξελθόντι δὲ αὐτῷ] καὶ ἐξῆλθον D. ἐξελθόντι δὲ τῷ Ἰησοῦ G. ἐλθόντος τοῦ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν Evang. 2. 12. 13. 17. γῆν] + καὶ D Colb. ὑπήντησεν] ἀπήντησεν 9.
αὐτῷ poſterius] — 1. 33. 74. 89. 90. Verſio *Armen.* τις] — D Codices *Latini*.
ἐκ τῆς πόλεως] — Verſio *Vulg.* ἐκ poſterius] ἀπὸ D.
ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο] καὶ χρόνῳ ἱκανῷ [1. πολλῷ] ἱμάτιον οὐκ ἐνεδύσατο L. 1. 33. Verſio *Armen. Syra* poſterior. *Æthiop.* ἐν οἰκίᾳ] ἐν οἴκῳ D. εἰς οἰκίαν 13. 69.
ἔμενεν] ἔμεινεν A 1. ἀλλ'] + ἦν L Verſio *Armen.*
μνήμασιν] μνημείοις D 56. + καὶ ἐν τοῖς ὄρεσιν ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν λίθοις 64.
28. καὶ ἀνακράξας προσέπεσεν αὐτῷ καὶ] ἀνέκραξεν D. καὶ prius] — 33. 61. ἀνακράξας] ἀνακηρύξας 69.
μεγάλῃ] + καὶ D ex Emendatione. Ἰησοῦ] — D 1. 59. 67. 69. 106. Verſio *Copt.*
τοῦ θεοῦ] — D. 1. 60. 83. 29. παρήγγειλε] παρήγγελλεν AGK. 1. 12. 72. Edit. *Complut.* ἔλεγεν D.
γὰρ] — E a prima manu. πνεύματι] δαιμονίῳ D. ἐξελθεῖν] ἔξελθε D.
τοῦ ἀνθρώπου] αὐτοῦ 33. καὶ ἐδεσμεῖτο] ἐδεσμεῖτο γὰρ D Codices *Latini*. καὶ ἐδεσμεύετο L.
διαῤῥήσσων] διέρηστε D. διαῤῥήσσων 1. 2.

ῆει, κἀκεῖ ἐκινδύνευεν ἀφειδέστατα. *Polyaen.* p. 649. ἄλλον διεσκύασεν τῇ ἑαυτῆ πανοπλίᾳ, ἄλλῃ δ' αὐτὸς ἐκινδύνευεν. *Plut.* Craſſ. p. 559. F. τῶν δὲ πεμφθέντων ὑπὸ τῆ Ποπλίᾳ πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν.

24. Repetitio habet ἔμφασιν. *Ovid.* A. A. II. 91. Decidit atque cadens pater, o pater, auferor, inquit.

26. κατέπλευσαν] *Theophraſt.* de C. Pl. IV. καταπλέοντες Ἀθήναζε πυρῆ. *Schol.* parv. in Il. ξ. 77. τὸ ὑγρὸν γὰρ ὑψηλότερον τῆς γῆς. διὸ ἀνάπλους μὲν ἀναγωγὴ, κατάπλους δὲ ἡ προσόρμησις. *Demoſth.* . . . καταπλεύσας. *Herodian.* III. 9. 14. καταπλέων γὰρ ὁ στράτος ναυσὶ πολλαῖς ἐκ εἰς ἃς ἐβέλετο Ρωμαίων ὄχθας κατηνέχθη. appello in portum. e mari in terram deſcendo. Oppoſitum ἀναπλέω. *Diodor.* S. IV. 32. Ἡρακλῆς καταπλεύσας εἰς τὴν τρωάδα. *Herodot.* I. 2. καταπλώσαντες γὰρ μακρῇ νηῒ ἐς αἶαν τὴν κολχίδα καὶ ἐπὶ φᾶσιν ποταμὸν. 165. καταπλεύσαντες ἐς τὴν φοινίκην. 166. καταπλώσαντες δ' ἐς τὴν ἀλαλίην. *Arrian.* Exped. Alex. I. 18. 7. Νικάνωρ ὑποφθάνει τὸς πέρσας Γ. ἡμέραις πρότερος καταπλεύσας ἢ τὸς Πέρσας Μιλήτῳ προσχεῖν. III. 2. 4. Ἡγέλοχος κατέπλευσεν εἰς αἰγύπτον.

ἀντιπέραν] *Apollod.* Bibl. III. 11. Σαμοθράκην ἀπολιπὼν εἰς τὴν ἀντίπειρα ἤπειρον ἦλθε. *Conon* Narr. 14. 21. εἰς τὴν ἀντίπερα γῆν. *Diodor.* S. III. 38. ἀπὸ πανόρμου λιμένος πρὸς τὴν ἀντιπέραν ἤπειρον. *Philo* de Vit. Cont. p. 485, 20. ὁδὸν —— δι' ἧς ὁ λεὼς ἐπέζευξεν ἄχρι τῆς ἀντιπέρας ἠπείρου. *Joſ.* A. II. 16. 3. ἔφθασαν ἐπὶ τὴν ἀντιπέραν γῆν ἀπαθεῖς ἐκφυγόντες.

27. ἐκ τῆς πόλεως] Ex urbe oriundus erat, licet tum temporis in ea non habitaret. *Matth.* XIV. 35. 1. *Macc.* VI. 3. *Judith* XIX. 16. Matth. XXVII. 57. χρόνων ἱκανῶν] XX. 9. XXIII. 8. *Act.* VIII. 11. XIV. 3. XXVII. 9. *Ariſtophanes* pac. 353. καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα. *Herodian.* III. 9. 1. διατρίψας ἱκανὸς χρόνος ἐν τῇ Ρώμῃ.

29. πολλοῖς χρόνοις] *Plut.* de lib. Educ. p. 11. A. ἐν δεσμωτηρίῳ πολλὰς κατεσάπη χρόνους.
ἐδεσμεῖτο] *Moeris.* δέω, ἀττικῶς. δεσμῶ, ἑλληνικῶς.

δεσμὰ, ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. Ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων Τί σοί ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν. 30
Καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Ἦν δὲ ἐκεῖ 31
ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλεν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς 32
εἰς ἐκείνους εἰσελθεῖν. Καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώ- 33
που, εἰσῆλθεν εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην· καὶ ἀπε- 34
πνίγη. Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον· καὶ — ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν Ἰη- 35
σοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον, ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν. Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ 36
ἰδόντες, πῶς ἐσώθη ὁ δαιμονισθείς. Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περι- 37
χώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν. Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαι- 38
μόνια, εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, 39
καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε, καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίη- 40
σεν αὐτῷ ὁ Ἰησοῦς. Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος ἦσαν

ἠλαύνετο] + καὶ D.
δαίμονος] δαιμονίς C a prima manu D Versio *Syra* posterior in margine. τὰς ἐρήμους] τὴν ἔρημον. D. 49.
30. ἐπηρώτησε] ἐπερώτησε F. λέγων] — 1. 56. 58. Versio *Goth. Syr.* Codices *Latini*.
σοί ἐστιν ὄνομα] ὄνομα σοί ἐστιν C. σοὶ ὄνομα ἐστιν D 1.
λεγεών] + ὄνομά μοι D. 74. ex emendatione. λεγιὼν L. Versio *Syr. Copt.*
ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτὸν] πολλὰ γὰρ ἦσαν δαιμόνια D. δαιμόνια πολλὰ] πολλὰ δαιμόνια 69.
εἰσῆλθεν] εἰσῆλθον 44. 64. εἰσῆλθεν εἰς αὐτὸν] ἦσαν Codices *Latini*. 31. καὶ παρεκάλει αὐτὸν] παρεκάλουν δὲ D.
παρεκάλει] παρεκάλουν CFL 1. 33. 45. 53. 61. in ora 69. Evang. 1. Editio *Erasmi*, *Aldi*, *Colinaei*.
ἀπελθεῖν] εἰσελθεῖν 7. 38. 32. ἱκανῶν] — D 49.
βοσκομένων] βοσκομένη D. sed in Vers. Latina: pascentium. K. 4. 6. 15. 42. 46. 64. 67. 69. 71. 72. 106. Ev. 3. Versio *Syr. Æthiop.* Codices *Latini*. καὶ παρεκάλουν] παρεκάλουν δὲ D. καὶ παρεκάλεσαν C. a prima manu. 33.
ἵνα] + μὴ A. ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν] εἰς τοὺς χοίρους εἰσέλθωσιν D. Codices *Latini*.
εἰσελθεῖν] ἀπελθεῖν G. 17. 59. 69. καὶ ἐπέτρεψεν] ὁ δ' ἐπέτρεψεν D. 33. ἀπὸ τοῦ ἀνθρώπου] — 28.
εἰσῆλθεν] ὥρμησαν D. εἰσῆλθον ACEGHK. 2. 12. 33. 46. 52. 66. 70. 71. 73. 74. 83. 86. 87. Evang. 5. 20. 24. probante *J. A. Bengelio*. καὶ ὥρμησεν] ὥρμησεν δὲ D. + πᾶσα 69. Versio *Syr.*
ἀγέλη] + τῶν χοίρων 69. λίμνην] θάλασσαν 28. Codices *Latini*.
καὶ ἀπεπνίγη] καὶ ἀπεπνίγοντο C. ut videtur. ἀπεπνίγη 63. καὶ ἀπεπνίγησαν 71.
34. γεγενημένον] γεγονὸς ACDKL. 1. 13. 15. 33. 42. 50. 63. 68. 69. 72. 106. γενόμενον Editio *Complut. Plantin. Geneu.*
ἔφυγον] ἔφυγαν D.
ἀπελθόντες] — ACDEFGHKLM. 1. 2. 3. 9. 10. 11. 12. 16. 27. 28. 33. 34. 35. 36. 38. a prima manu 39. 40. 42. 44. 45. 46. 47. 48. 49. 50. 51. 53. 56. 57. 59. 60. 61. 62. 63. 64. 66. 67. 68. 69. 72. 73. 74. 76. 83. 86. 87. 90. 91. 106. Evang. 2. 5. 9. 11. 12. 14. 16. 17. 18. 19. 20. 21. 24. Editio *Erasmi*, *Aldi*, *Colinaei*, *Bengelii*, *Bogardi*. Versio *Vulg. Goth. Syr.* utraque. *Copt. Arab. Lutheri*, *Tigurina*, *Polani*, *Theophylactus*. *Euthymius*. probante *J. Millio* prol. 1247. ἀπήγγειλαν] ἀνήγγειλαν Colb.
35.] παραγενομένων δὲ ἐκ τῆς πόλεως, καὶ θεωρησάντων καθήμενον τὸν δαιμονιζόμενον σωφρονοῦντα καὶ ἱματισμένον καθήμενον παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἐφοβήθησαν D.
ἦλθον] ἔρχονται 1. πρὸς] εἰς 47. 56. 58. 61. καθήμενον τὸν ἄνθρωπον] τὸν ἄνθρωπον καθήμενον 1.
ἐφοβήθησαν] ἐξεθαμβήθησαν 28. 36. ἀπήγγειλαν δὲ] καὶ ἀπήγγειλαν C. Versio *Syr.*
δὲ] γὰρ D. αὐτοῖς] — 69.
καὶ] — CDL. 33. 69. Versio *Syr. Copt.* Codices *Latini*. ἰδόντες] εἰδότες 59.
ὁ δαιμονισθεὶς] ὁ λεὼν D. a prima manu. λεγαιὼν ex emendatione. —— *J. Millio* prol. 424.
37. καὶ ἠρώτησαν] ἠρώτησαν δὲ D. καὶ ἠρώτησεν AKM 44. 65. 69. 71.
αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου] τὸν Ἰησοῦν πάντες, καὶ ἡ χώρα D.
πλῆθος] + τῆς πόλεως καὶ 14. 28. τῆς περιχώρου] — Colb. Versio *Syr.*
Γαδαρηνῶν] Γερασηνῶν D. Versio *Vulg.* Γεργεσηνῶν CL 1. 13. 33. 69. Versio *Copt. Armen.*
ὅτι φόβῳ] φόβῳ γὰρ D. συνείχοντο] ἐνείχοντο 34. 39.
αὐτὸς δὲ ἐμβὰς] ἐμβὰς δὲ D. αὐτὸς ἐμβὰς A. Ev. 19. εἰς τὸ πλοῖον] — D. εἰς πλοῖον CL 1.
38. ἐδέετο] ἐδεῖτο L. *Cyrillus* Act. V. ἐδέετο A. *Thomas*. ἐκ ἐδέετο, οὐδ' ἐπλεῖτο, ἀλλ' ἐδεῖτο, καὶ ἐπλεῖτο.
Ἰωνικὰ γὰρ. *Phrynichus* p. 160. ἐδέετο, ἐπλεῖτο, Ἰωνικὰ ταῦτα. Ἡ δὲ ἀττικὴ συνήθεια συναιρεῖ, ἐδεῖτο, ἐπλεῖτο, ἐρρεῖτο.
ἤρατο D. δὲ] γὰρ Editio *Erasmi*. αὐτοῦ] 5. 11. 46. 74. αὐτὸν D.
ἀπέλυσε] ἀπέστειλε L. *Cyrillus*. ὁ Ἰησοῦς] — DL 1. Versio *Copt.* Codices *Latini*. *Cyrillus*.
ἐξεληλύθει τὰ δαιμόνια] τὰ δαιμόνια ἐξεληλύθει C. 1. 69. Editio *Complut.*

δεσμὰ] *Andocides*. δεσμά τε καὶ κακὰ, ὅσα τε καὶ οἷα τῷ σώματι ἠνεσχόμην. *Lucian.* Prometh. 1. ὡς βεβαιότερον καταπαγείη τὰ δεσμὰ. vid. in *Matth.* XIII. 30.
ἠλαύνετο] *Pausanias* Lacon. τὸ γὰρ χρεὼν ἤδη τὸν Μεσσηνίους ἠλαυνεν. *Herodian.* IV. 4. 5. ὑπὸ τῆς ἐπιθυμίας ἐλαυνόμενος. 7. 1. τοιαῦτα δὴ πράττων ὑπό τε τῆς τῶν ἔργων συνέσεως ἐλαυνόμενος. I. συνειδήσεως.
31. ἄβυσσον] *Aristophanes* Ran. 138. ἀλλ' ὁ πλοῦς πολὺς· εὐθὺς γὰρ ἐπὶ λιμνην μεγάλην ἥξεις πάνυ ἄβυσσον. *Lex. MS Psal.* ἄβυσσος, ὑδάτων πλῆθος ἀπέραντον.
42. ἀπέθνησκεν] Jam jam moritura erat *Marc.* V. 23. ἐσχάτως ἔχει. *Maximus Tyr.* XXIV. 9. μέμφεται τῇ Ξανθίππῃ ὀδυρομένῃ, ὅτι [l. ὅτε] ἀπέθνησκεν. *Lucianus* Tox. 22. ἐπεὶ δὲ ἀπέθνησκε, διαθήκας ἀπέλιπε. *Epictetus Arriani* II. 23. τὸ γράφον ὅτε ἀπέθνησκεν, ὅτι τὴν τελευταίαν ἄγοιθ' ἅμα καὶ μακαρίαν ἡμέραν. *Lysias* de Aristoph.

41 ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. Καὶ ἰδὲ, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρ, καὶ αὐτὸς
ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν
42 εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ· Ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη
43 ἀπέθνησκεν. (Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν· Καὶ γυνὴ οὖσα ἐν ῥύ-
σει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ
44 ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι· Προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱμα-
45 τίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς
ὁ ἁψάμενός μου; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστά-
46 τα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι· καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου; Ὁ δὲ Ἰη-
47 σοῦς εἶπεν· Ἥψατό μου τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Ἰδοῦσα δὲ ἡ
γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐ-
48 τοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. Ὁ δὲ εἶπεν
49 αὐτῇ· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.) Ἔτι αὐτοῦ λα-
λοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ· Ὅτι τέθνηκεν ἡ θυγά-
50 τηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ
~ἰατροῖς φοβοῦ·

39. ὑπόστρεφε] πορεύου D. ὑπόστρεψον Editio *Erasmi, Aldi, Colinaei.* ἀπόστρεφε 71.
σου] + πρὸς τοὺς σοὺς 64. 67. ☪ διηγοῦ] διηγέμων D. ἐποίησε σοι] σοι ἐποίησε 1. *Cyrillus.*
ἐποίησε σοι οἱ θεὸς] σοι ὁ κύριος πεποίηκε ☪ ἐθεράπευσε σε C. ut videtur a prima manu. + ☪ ἠλέησε σε 13
σοὶ ὁ θεὸς ἐποίησε D. ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων] ἀπελθὼν κατὰ τὴν πόλιν ἐκήρυσσεν D.
Ἰησοῦς] θεὸς 1. 27. 37. in margine. Evang. 9. *Cyrillus* A. V.
40. ἐγένετο δὲ ἐν] ἐν δὲ 1. Versio *Syr. Copt. Æthiop. Arab. Marcion, Epiphanius.*
ὑποστρέψαι] ὑποστρέφειν 28. 59. ἐπιστρέψαι 61. ἀπεδέξατο αὐτὸν ὁ ὄχλος] ἀποδέξασθαι αὐτὸν τὸν ὄχλον D.
ὄχλος] λαὸς 1. γὰρ] δὲ 56. 58. πάντες] ἅπαντες F. 1. 33.
41. ἰδοὺ ἦλθεν] — Versio *Syr.* ἐλθὼν D. ἰδοὺ 71. ☪ αὐτὸς] — Versio *Syr.* ☪ ἦτος D 1. 69. 71.
ὑπῆρχε ☪] — D. Versio *Syr.* ἦν καὶ 28. ὑπάρχων καὶ K. παρὰ] ὑπὸ D. τὸν οἶκον] τὴν οἰκίαν D.
42. ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς] ἦν γὰρ θυγάτηρ αὐτῷ μονογενὴς D. Versio *Syr. Æthiop. Arab.*
θυγάτηρ μονογενὴς] θυγάτριον μονογενὲς 51. ὡς] ὡσεὶ KL 72.
δώδεκα] δεκαδύο 1. ιβ. D. & comm. 43. καὶ αὕτη ἀπέθνησκεν] ἀποθνήσκουσα D.
ἐν δὲ τῷ ὑπάγειν] καὶ ἐγένετο, ἐν τῷ πορεύεσθαι CD. a prima manu. ἐγένετο ἐν τῷ ὑπάγειν *Marcion* ap. Epiph.
αὐτὸν] τὸν Ἰησοῦν Versio *Syr. Copt.* συνέπνιγον] συνέπνιγαν D. συνέθλιβον CL. 11. 13. 40. 53. 69. Versio *Syr.*
43. γυνὴ] + τις 56. 58. 59. 61. 76. Evang. 20. Versio *Vulg. Syr.* + ἡ Editio *Erasmi* 1.
ἥτις εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι] ἣν οὐδεὶς ἴσχυεν θεραπεῦσαι D.
εἰς ἰατροὺς] ἰατροῖς ACEFGHKLM 1. 4. 5. 6. 7. 8. 9. 10. 11. 12. 13. 14. Colb. tres 37. 38. 40. 44. 47.
48. 51. 53. 54. 55. 56. 57. 58. 59. 60. 61. 62. 63. 64. 66. 67. 68. 69. 71. 72. 83. 86. 89. 90. 91. 106.
Evang. 2. 5. 11. 12. 13. 14. 16. 17. 18. 19. 20. 21. 24. Editio *Complut. Bengelii, Plantin. Genev.* Versio prob.
J. Millio prol. 1101. *Syra* posterior. *Hesychius* Q. 10. προσαναλώσασα] ἀναλώσασα Ev. 21. καταναλώσασα 71.
βίον] + αὐτῆς C. 54. Versio *Copt.* Codices *Latini* ὑπ'] ἀπ' A. παρ' 69.
44. προσελθοῦσα] καὶ προσελθοῦσα 53. + δὲ C ut videtur 35. 49. 59. Evang. 14. 17. Editio *Erasmi,*
Aldi, Bogardi. Theophylactus. ὄπισθεν] — D. τοῦ κρασπέδου] — D. Codices *Latini.*
45. ☪ εἶπεν ὁ Ἰησοῦς· τίς ὁ ἁψάμενός μου] ὁ δὲ Ἰησοῦς γνοὺς τὴν ἐξελθοῦσαν ἐξ αὐτοῦ δύναμιν ἐπηρώτα· τίς μου ἥψατο; D Cod. *Lat.*
καὶ οἱ μετ' αὐτοῦ] — 42. 63. 72. μετ' αὐτοῦ] σὺν αὐτῷ AGD a prima manu L 1. 33. 67. 69. 106. Ev. 18. 19.
καὶ λέγεις· τίς ὁ ἁψάμενός μου] Colb. Versio *Copt. Armen.* λέγεις] λέγει D. Sed Versio Latina: dices.
ὁ ἁψάμενός μου posterius] μου ἥψατο D.
46. Ἰησοῦς] — DL 1. Evang. 20. Versio *Syr. Sax.* Codices *Latini.* ἐγὼ γὰρ ἔγνων] ἔγνων γὰρ 80.
ἐξελθοῦσαν] ἐξεληλυθυῖαν L 33. *Origenes.* in Matth. XV. 26. 47. τρέμουσα] ἔντρομος ὢσα D.
αὐτῷ posterius] — AC a prima manu DL. 1. 42. 63. 69. 72. Versio *Vulg. Syr. Copt.* λαοῦ] πλήθους 28.
καὶ ὡς] καὶ ὅτι D. ἕως 69. 48. δὲ] + Ἰησοῦς CM. 12. 16. 64. 67. 71. 86. Versio *Goth. Syr.*
θάρσει] — DL 1. 59. Versio *Vulg. Copt.* probante *J. Millio* prol. 423. σε] — Colb.
εἰς εἰρήνην] ἐν εἰρήνῃ D.
ἔρχεται τις] ἔρχονταί D.
λέγων] λέγοντες D. αὐτῷ] — L. 1. 33. Versio *Copt.*
μὴ] μηκέτι D. Versio *Syra* posterior cum asteriſco appoſito poſt primam ſyllabam.
σκύλλε] σκύλλε 59. 64. Evang. 5. σκύλε 34. 36. 38. Evang. 16. *Damascenus.*
τὸν διδάσκαλον] αὐτὸν 1. Versio *Vulg.* probante *J. Millio* prol. 425.
50. ἀκούσας] + τὸν λόγον D Versio *Vulg.*
αὐτῷ] τῷ πατρὶ τῆς παιδὸς Versio *Vulg Syr.* ἀπεκρίθη αὐτῷ] εἶπε 16. Codices *Latini.*
λέγων] — L. 1. Versio *Syr. Vulg.*

ſtoph. bonis Νικηράτης δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν ὀδόν.

43. *Galenus* de praenot. Ἡ γὰρ τοῦ Βοηθοῦ γυνὴ τῷ καλουμένῳ ῥῷ γυναικείῳ περιπεσοῦσα, καταρχὰς μὲν αἰδουμένη τοὺς ἀξιολόγους ἰατροὺς, ὧν εἷς ἤδη καὶ γὼ πᾶσιν ἐδόκουν εἶναι, ταῖς συνήθεσι μαίαις ἀρίσαις ἅσαις κατὰ τὴν πόλιν ἑαυτὴν ἐπέτρεπεν. ὡς δ' οὐδὲν ὠφελεῖτο, πάντας ἡμᾶς ὁ Βοηθὸς ἀθροίσας ἐπεσκοπεῖτο, τί χρὴ ποιεῖν. ὡς δὲ συνωμολογήθη, κατὰ τὴν γεγραμμένην ὑπ' Ἱπποκράτους τε καὶ τῶν ἀρίστων μετ' αὐτὸν ἰατρῶν θεραπείαν πάντα πράττειν —— ἐπεὶ δὲ ταῦτα ἔπραττον ἐφαίνετο χεῖρον ἡ διάθεσις ἀποτελεμένη, κατὰ τὸ εἰκὸς ἀπορία πᾶσιν ἡμῖν ἐγίνετο, καὶ ζητοῦσιν ἑτέραν ἀγωγὴν θεραπείας, ἐφ' ἣν μεταβαίνωμεν, ὅτ' ἐκ λογισμοῦ τις ηὑρισκεν, ὅτ' ἐκ πείρας ἀνεμιμνήσκετο βελτίον τῆς ὑπὸ τῶν ἀρίστων ἰατρῶν ὁμολογεμένης. —— τὸ γὰρ ἐκκρινόμενα τοῦ ῥοῦ τῆ γυναικείᾳ καθ' ἑκάστην ἡμέραν.

προσαναλώσασα] *Euripid.* Electr. 427. ὁκοπῶ τὸ χρήματ', ὡς ἔχει μέγα σθένος ξένοις τε δοῦναι, σῶμα τ' ἐς

γέ-

φοβῆ· μόνον πίστευε, καὶ σωθήσε⟩.~ Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν 51
οὐδένα, εἰ μὴ Πέτρον καὶ~ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸ πατέρα τοῦ παιδὸς καὶ τὴν μητέρα.
Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλ- 52
λὰ καθεύδει. Καὶ κατεγέλων αὐτῆ, εἰδότες ὅτι ἀπέθανεν. Αὐτὸς δὲ ἐκβαλὼν ἔξω 53
πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἐγείρου. Καὶ ἐπέ- 54
στρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. 55
Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός. 56

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα — μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ 1
ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν 2
τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε 3
εἰς τὴν ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον· μήτε ἀνὰ δύο
χιτῶνας ἔχειν· Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ 4
ὅσοι ἂν μὴ δέξων⟩ ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν 5
ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς 6
κώ-

⟩ελθὼν ~Ἰωάννην καὶ Ἰάκωβον

51. εἰσελθὼν] ἐλθὼν ACFHKLM. 1. 2. 3. 10. 11. 12. 13. 16. 27. 28. 33. 34. 36. 37. 38. 39. 42. 45. 49. 51. 52. 59. 60. 61. 62. 63. 64. 66. 68. 69. 71. 72. 73. 74. 83 86. 90. 91. Evang. 2. 5. 11. 12. 13. 14. 16. 17. 18. 19. 20. 21. 24. Editio *Eraſmi*, *Aldi*, *Colinaei*, *Bengelii*. Verſio *Vulg. Syr.* utraque *Goth. Arab. Theophylactus.* probante *J. Millio* p. 1378.
εἰσελθεῖν] + σὺν αὐτῷ D. 38. Verſio *Vulg.* εἰσελθεῖν οὐδένα] τινα εἰσελθεῖν 69.
οὐδένα] τινα D. 38. 69. + σὺν αὐτῷ L 69. Verſio *Syr.* utraque *Copt. Æthiop. Arab.*
Ἰάκωβον & Ἰωάννην] Ἰωάννην & Ἰάκωβον CDEFGK 1. 2. 34. 35. 36. 37. 38. 39. 40. 44. 45. 46. 47. 48. 50. 52. 54. 55. 56. 58. 59. 61. 62. 64. 66. 69. 71. 72. 76. 83. 86. Colb. tres. 106. Evang. 2. 3. 13. 14. 16. 17. 18. 19. 20. 21. 24. Editio *Complut. Eraſmi* 1. *Aldi*, *Plantini*, *Bengelii*, *Geneu.* Verſio *Sax.* Codices *Latini. Syra* poſterior. *Arab. Chryſoſtomus*, *Damaſcenus* I. 1. *Theophylactus.* probante *H. Grotio.* infra IX. 28.
τοῦ παιδὸς] τοῦ κοραςίου D. 52. ὁ δὲ] + Ἰησοῦς 33. Verſio *Syr.* κλαίετε] καίετε D. a prima manu.
οὐκ] οὐ γὰρ CDL1. 13. 16. 64. 69. 71. Ev. 11. 19. Verſio *Syr.* prior, & poſterior cum aſteriſco. *Copt. Goth. Cyrillus* Act. V.
ἀπέθανεν] + τὸ κοράσιον FLM 1. 13. 33. 64. 69. 106. Editio *Eraſmi* 1. *Aldi.* Verſio *Copt. Syr.* poſterior, & in margine notat: non in omnibus exemplaribus reperitur. *Cyrillus* l. c. 53. αὐτοῦ] αὐτοὺ C. ex emend.
54. ἐκβαλὼν ἔξω πάντας καὶ] — DL 1. Verſio *Æthiop.* Codices *Latini.* probante *J. Millio* prol. 417. 1362.
ἔξω] — C. a prima manu. Verſio *Copt.* ἔξω πάντας] πάντας ἔξω A. 72. 106. Verſ. *Syr. Theophylactus.*
ἐφώνησεν] + αὐτὴν Verſio *Syr.* prior, & poſterior cum obelo. λέγων] — 1.
ἐγείρε] ἔγειρε D. 1. 33. ἔγειραι L. 55. ἐπέστρεψε] ὑπέστρεψεν D.
διέταξεν] ἐπέταξεν D. διετάξατο Evang. 21. αὐτῇ δοθῆναι] δοθῆναι αὐτῇ D 1. 69. 106. Codices *Latini.*
56. καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν] οἱ δὲ γονεῖς αὐτῆς θεωροῦντες ἐξέστησαν, παρήγγειλεν δὲ D.
μηδενὶ] μηδὲ D. a prima manu. Sed Verſ. Latina: nemini.
1. δὲ] ὁ Ἰησοῦς 2. + ὁ Ἰησοῦς FG Editio *Eraſmi* 1. Verſio *Syr.*
μαθητὰς αὐτοῦ] — ADKM. 1. 3. 9. 10. 11. 27. 28. 29. 34. 35. 36. 38. 39. 40. 42. 44. 46. 47. 49. 50. 51. 52. 53. 54. 55. 56. 57. 58. 59. 61. 62. 63. 64. 66. 68. 71. 72. 74. 80. 83. 86. 87. 90. 91. 106. Editio *Eraſmi*, *Aldi*, *Bengelii*, *Bogardi.* Verſio *Syra* prior, *Lutheri*, *Tigurina. Dialogus* c. Marcionit. *Theophylactus*, *Euthymius.* probante *H. Grotio*, *J. Millio.* prol. 1346. ἀποστόλους L 12. 16. 33. 67. 69. Verſio *Vulg. Goth. Sax. Copt. Syra* poſterior. μαθητὰς 12.
πάντα τὰ δαιμόνια] πᾶσαν δαιμόνιον D a prima manu.
2. ἀπέστειλεν αὐτοὺς] — 50. ἰᾶσθαι] + πάντας Verſio *Goth.* ἰάσασθαι F.
ἀσθενοῦντας] ἀσθενεῖς ADL 1. 38. 3. πρὸς αὐτοὺς] αὐτοῖς 56. 58. 61.
τὴν] — 69. μήτε primo loco] εἰ μὴ *A. Oſiander.*
ῥάβδους] ῥάβδον C a prima manu DE a prima manu FLM 1. 11. 13. 33. 34. 35. 36. 38. 39. 40. 46. 52. 54. 61. 64. 69. 76. 86. 106. Evang. 5. 18. Editio *Eraſmi*, *Aldi*, *Colinaei*, *Stephani* 2. *Bogardi.* Verſio *Vulg. Syr. Æthiop. Arab.* μήτε ἄρτον] — 57. 63. Verſio *Goth.*
μήτε ἀργύριον] — Evang. 5. 21. ἀνὰ] — F.
ἔχειν] ἔχετε FL 33. Verſio *Vulg. Syr. Copt.* *Etymol.* ἀπερεμφάτῳ δ' εἰ συντάσσεται ἡ μὴ ἀπαγόρευσις, ἢ ξένον· Διότι πάντος ῥήματος ἄρχει τὸ ἀπαρέμφατον· κρεῖττον δὲ ἐστι εἰπεῖν, ὅτι ἡνίκα μὴ ἀπαρεμφάτῳ συντάσσεται, ἀντὶ προστακτικῆς ἐγκλίσεως κεῖται, ὡς ἐν τῷ· *Od.* α. 39. μήτ' αὐτὸν κτείνειν [τὸν ἀγαμέμνονα ὁ αἰγισθος] μήτε μνάασθαι ἄκοιτιν, ἀντὶ τοῦ· μὴ ἔσο μνηστὴρ τῆς γυναικὸς αὐτοῦ. Καὶ ἐν τῇ Ἰλιάδι τ. 261. Μὴ μὲν ἐγὼ κείρη Βρησηίδι χεῖρας ἐνεῖκαι· συνέχως γὰρ ὁ ποιητὴς τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν ἐχρήσατο. 4. ἣν] + δ' M. 1. 29.
ἂν] — 47. 53. 55. 61. 66. a prima manu. + πόλιν ἢ 106. Verſio *Syra* poſterior.
κἀκεῖθεν] κἀκεῖθεν D. + μὴ 38. Verſio *Vulg.* κἀκεῖθεν ἐξέρχεσθε] ἕως ἂν ἐξέλθητε Verſio *Sax. Copt.*
5. δέξων⟩] δέχων⟩ AC a prima manu KM. 1. 33. 63. 71. 86. Editio *Eraſmi* 1. *Ald.* δέξον⟩ 53. 106.

νόσον πισὸν Δαπάναισι σῶσαι. Cleander apud *Plut.* de Aud. Poët. p. 33. C. σῶμα δ' εἰς νόσος πισὸν Δαπάναις ἐπιτρίψαι. *Demoſth.* pro Cor. προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας ὐσίας τριὰ τάλαντα.

1. *Plut.* Syll. p. 478. A. Μιθριδάτῃ συμμαχίαν διδόντι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθρούς. contra.

7. Intendit ſignificationem *Ælianus* V. H. IV. 17. ὐκ οἶον τε δὲ ἦν διαπορῆσαι ὑπέρ τινος αὐτῷ. *Joſeph.* A. prooem. ὅπως ἂν μή τινες τῶν ἀναγινωσομένων διαπορῶσι. *Polyb.* I. 60. διηπόρει, τί δεῖ χρῆσθαι τοῖς παροῦσι.

12. κλίνει] XXIV. 29. *Herodot.* IV. 181. ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίστασι τῇ ψυχρῇ, ἐς ἃ δύεται τε ὁ ἥλιος. *Apollon.* . . . κλίναντος ἡλίε. *Livius* IX. 32. Sol meridie ſe inclinavit. *Q. Curtius* IV. 7. 22 die inclinato in veſperam. *Arrian.* Exped. Alex. III. 4. 4. ἐγκλίναντος ἡλίε εἰς ἑσπέραν. *Plin.* Ep. VII.

7 κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. Ἤκουσε δὲ Ἡρῴδης ὁ τετράρχης
τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα· καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων, ὅτι Ἰωάννης
8 ἐγήγερται ἐκ νεκρῶν. Ὑπό τινων δὲ, ὅτι Ἠλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης εἷς τῶν
9 ἀρχαίων ἀνέστη. Καὶ εἶπεν Ἡρῴδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος
10 περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν αὐτόν. Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι
διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν· καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τό-
11 πον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά. Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ· καὶ
δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας
12 θεραπείας ἰᾶτο. Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ·
Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύ-
13 σωσι, καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. Εἶπε δὲ πρὸς αὐτούς· Δότε
αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ δύο ἰ-
14 χθύες, εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. Ἦ-
σαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε
αὐ-

Evang. 18. 19. 21. Editio *Eraſmi* 2. διὰ prius] — 56. 58. 61. ὁ D 64. ὃ posterius] — D.
τὸν κοιρτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε] ἐκτινάξατε τὸν κοιρτὸν τῶν ποδῶν ὑμῶν D.
ἐπ' αὐτοὺς] ἐπ' αὐτοῖς 36. Evang. 11. αὐτοῖς 28. 47. 54. 69. Evang. 5. 21.
6. ἐξερχόμενοι] ἐρχόμενοι 3. δὲ] + οἱ ἀπόστολοι Verſio *Syr.*
διήρχοντο κατὰ τὰς κώμας] κατὰ πόλεις καὶ ἤρχοντο D. + καὶ πόλεις Verſio *Syr. Armen. Æthiop. Dial. c. Marcion.* τὰς] — 40. 7. Ἤκουσε] ἀκούσας D.
γινόμενα] γενόμενα A. 1. 15. 46. 48. 69. Editio *Eraſmi*, *Colinaei*.
ὑπ' αὐτοῦ] — C a prima manu DL. 69. Verſio *Copt.* Codices *Latini*. ὑπὸ τοῦ Ἰησοῦ Evang. 17.
πάντα καὶ διηπόρει] ἠπορεῖτο D. ἐγήγερται] ἠγέρθη L 1. 69.
ἐγήγερται ἐκ νεκρῶν] ἐκ νεκρῶν ἀνέστη D. ἐκ] + τῶν 47. 71. ἀπὸ τῶν 44. 69. Editio *Complut. Plantin.*
8. ὑπό τινων] ἄλλοι 69. ἄλλων] ἄλλοι D.
εἷς] — D. 69. Verſio *Syr. Copt.* Codices *Latini*. τις CL 1. 13. 33. 60. Evang. 18. Verſio *Goth.*
9. καὶ εἶπεν] εἶπεν δὲ DL 1. 13. 33. 69. Verſio *Copt.*
ὃ] — ACDFHKM 3. 9. 10. 12. 14. 44. 50. 51. 54. 57. 59. 61. 62. 65. 66. 68. 72. 73. 74. 83. 86. 90. 106. Ev. 18. Editio *Eraſmi*, *Aldi*, *Colinaei*, *Stephani* 1. 2. *Complut. Bengelii*. Codices *Lat. Theophylactus*
Ἡρῴδης] + ὅτι D. περὶ ὃ ἐγὼ ἀκούω τοιαῦτα] ἐκ οἴδα, πολλὰ γὰρ ἀκούω περὶ αὐτοῦ 28.
ἐγὼ ἀκούω] ἀκούω ἐγὼ A. a prima manu. Verſio *Syr.* Codices *Latini*. ἀκούω L. Evang. 2.
ἀκούω τοιαῦτα] ταῦτα ἀκούω DF. 59. 69. 91. ἰδεῖν αὐτὸν] αὐτὸν ἰδεῖν D.
10. ὑποστρέψαντες] ἀποστρέψαντες 48. αὐτῷ] τῷ Ἰησοῦ 69. + πάντα 60. ἐποίησαν] + ὅσα ἐδίδαξαν A.
ὑπεχώρησε] ἀνεχώρησεν D 51. 57. Colb. Verſio *Vulg.* ὑπεχώρησαν 71. — 69. Verſio *Syr.*
τόπον ἔρημον] ἔρημον τόπον A. τόπον 1.
τόπον ἔρημον πόλεως καλουμένης] κώμην λεγομένην D. πόλιν καλουμένην 33. Verſio *Copt.*
πόλεως καλουμένης] — Verſio *Syr.* Codices *Lat.* prob. *Bengelio*, *J. Millio* prol. 417. πόλεως καλουμένης Βηθσαϊδά] — 69.
Βηθσαϊδᾶ] Βηθσαϊδὰν AFL 2. 3. 9. 10. 12. 15. 36. 38. 40. 44. 45. 63. 64. 68. 70. 71. 72. 73. 74. 76. 91. Evang. 17. Verſio *Goth.*
αὐτοῖς] + τὰ M. 12. 33. 44. 67. 69. 73. probante *J. Pricaeo.* 11. δεξάμενος] ἀποδεξάμενος DL 1. 11. 33. 67. 69. 106.
θεραπείας] + αὐτοῦ, πάντας D. τοὺς] τοὺς δὲ 69.
12. ἡ] ἤδη 60. ἰᾶτο] ἴασατο L 7. 13. 27. 28. 33. 60. 69. 71. Evang. 17.
εἶπον] εἶπαν L. & comm. 13. δώδεκα] μαθηταὶ αὐτοῦ Verſio *Syr.* + τοῦ Ἰησοῦ F.
ἀπελθόντες] πορευθέντες ACDL. 33. 69. Evang. 18. 19. τὸν ὄχλον] τοὺς ὄχλους 27. 34. 39. 46. 48. 49. 50. 54. 80. τοὺς] — 1. 69. + κύκλῳ 28.
καὶ εὕρωσιν ἐπισιτισμὸν] — D. καὶ ἀγοράσωσιν ἑαυτοῖς βρώματα Verſio *Goth.* τόπῳ] — 64.
13. αὐτοῖς ὑμεῖς] ὑμεῖς αὐτοῖς 74. εἶπον] εἶπαν DL.
πλεῖον] πλέον D 1. πλείους FM 71. πλείω 61. Editio *Eraſmi*, *Colinaei*.
δύο ἰχθύες] ἰχθύες δύο ACEFGH 1. 3. 44. 69. 72. 73. 74. 80. 83. 86. 89. 90. 106. Editio *Complut. Plantin. Bengelii*. Verſio *Goth.* Codices *Latini*. εἰ μήτι] μὴ 1. πορευθέντες ἡμεῖς] ἡμεῖς πορευθέντες D.
ἀγοράσωμεν] ἀγοράσομεν 1. 10. 45. 47. 48. 51. 52. 54. 56. 57. 58. 65. 66. 72. in ora 74. 83. 86. 106. Ev. 18. Edit. *Comp.*
εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα] βρώματα εἰς πάντα τὸν ὄχλον τοῦτον. 1. 1. *Cor.* VII. 8. 2. *Cor.* XIII. 5.
πάντα] — Verſio *Copt. Armen.* ἅπαντα 71. λαὸν] ὄχλον 1. Editio *Eraſmi* 1.
τοῦτον] — 57. 64. Verſio *Copt.* 14. γὰρ] δὲ L. Verſio *Copt. Vulg.*
ὡσεὶ ἄνδρες] ἄνδρες ὡσεὶ 1. *Theophylactus*. ἄνδρες ὡς D Codices *Latini*.
πρὸς τοὺς μαθητὰς αὐτοῦ] αὐτοῖς Verſio *Syr.* + ὁ Ἰησοῦς F Verſio *Syr.*

27. inclinato die ſpatiabatur in porticu.

ἐπισιτισμὸν] *Gloſſar.* Commeatus, ἐπισιτισμὸς. *Demoſth.* pro Coron. ἔχοντες ἐπισιτισμὸν ἡμερῶν μ. *Thucyd.* VIII. 95. οἱ δὲ ἔτυχον ἐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι, ὅθεν γαρ ἐπωλεῖτο. Schol. λαμβάνοντες. Heſychius. ἐπισιτισμὸν, ἐφοδιασμὸν. *Xenophon* Hell. III. ἐγένετο αὕτη ἡ στρατεία ὥσπερ ἐπισιτισμὸς τῇ Πελοποννήσῳ. *Herodian.* VI. 7. 3. τῶν ἐπισιτισμῶν αὐτοῖς τοσούτων ὄντων. *Pollux* VI. 34. ἀπὸ δὲ σίτου — ἐπισιτισμὸς. *Diodor. Sic.* IV. 48. τοὺς δὲ ἀργοναύτας ἐπισιτισαμένους ἐκ πλοῦ. *Thucyd.* VI. 94. ἐπισιτισάμενοι. Schol. ἤγουν ἐφόδια λαβόντες. *Arrian.* Exped. Al. III. 20. ἐπισιτισάμενος δὲ αὐτόθι, ὅτι ἔρημον τὴν πρόσω χώραν ἤκουεν. *Lucian.* Alex. 6. ἐπισιτίσαντό τε τὰ ἀρκοῦντα. Bis accuſ. 28. ἐπεὶ δὲ ἱκανῶς ἐπισιτίσατο. Gall. 16. ὥκνουν ὁ κακοδαίμων ὀλίγων τῶν ψηγμάτων ἥκειν ἐς τὸν βίον ἐξ ἐκείνου ἐπισιτισάμενος.

14. κατακλίνατε] *Plat.* κατακλινέντος τοῦ Σωκράτους καὶ δειπνήσαντος. *Athenaeus* VIII. p. 363. F. ὅτε κατακλίνεσθαι παρὰ τοῖς ἀρχαίοις ἔθος, ἀλλὰ δαίνυθ' ἑζόμενοι. *Ælian.* VIII. 7. συμπαρέλαβε δὲ εἰς τὸ συμπόσιον

αὐτὸς κλισίας ἀνὰ πεντήκοντα. Καὶ ἐποίησαν οὕτω· καὶ ἀνέκλιναν ἅπαντας. Λαβὼν 15
δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτούς· καὶ 16
κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ. Καὶ ἔφαγον, καὶ ἐχορτά- 17
σθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι δώδεκα. Καὶ ἐ- 18
lectu ſenſibili. Intelleximus te, o vitae vera vita, o naturarum omnium foecunda generatio. Cognovimus te, totius naturae tuo conceptu pleniſſime, cognovimus te aeterna perſeveratio. In omni enim iſta oratione adorantes bonum bonitatis tuae hoc tantum deprecamur, ut nos velis ſervare perſeverantes in amore cognitionis tuae, & nunquam ab hoc genere vitae ſeparari. *Sap.* XV. 3. *Eſaj.* XXXVII. LXV. 16. 2. *Chron.* XV. 3. 2. *Macc.* I. 24. 25. 1. *Jo.* V. 20. *Pſal.* LXXXIII. 19.

ἡ αἰώνιος ζωὴ] *Philo* de profug. T. 1. p. 557, 36. ἀλλ' ἡ ζωὴ μέν ἐστιν αἰώνιος ἡ πρὸς τὸ ὂν καταφυγή, θάνατος δ' ὁ ἀπὸ τούτου δρασμός;

5. εἶχον] Deſtinatione tua, inf. 24. *Eph.* I. 4. 1. *Pet.* I. 20. *Apoc.* XIII. 8. *Bereſchith R.* I. 5, Nomen Meſſiae — ante creationem mundi aſcendit in cogitationem, ut crearetur S. D. Pſ. LXXII. 17. *Targum* in l. Pſalmi: antequam eſſet ſol, praeparatum eſt nomen ejus [regis Meſſiae] *Heb.* V. 5. X. 34.

9. *Ego* filius tuus, cujus preces ſemper exaudis. Oravit etiam *pro mundo* comm. 21. *Luc.* XXIII. 34. & exauditus eſt: jure ergo ſperare poterat, preces pro diſcipulis auditum iri. *Luc.* VII. 4. 5. Hic vero rei natura non patiebatur, ut pro mundi, qui malus erat, concordia & conſtantia precaretur. 1. *Jo.* V. 16.

10. 1. *Theſſ.* II. 20.

11. *In nomine tuo* i. e. quia tui erant diſcipuli, & ideo mihi eos in doctrinam tradidiſti. *Marc.* IX.

καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ
15 κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ
16. 17 πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσὶ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. Ἁγίασον αὐ-
18 τοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσ-
19 μον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον. Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν,
20 ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ
21 περὶ τῶν ~ πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· Ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ,
πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ ὅ-
22 τι σύ με ἀπέστειλας. Καὶ ἐγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν ἓν,
23 καθὼς ἡμεῖς ἓν ἐσμεν. Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ
ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγά-
24 πησας. Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ·
ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.
Πά-

~ πιστεύοντων

μοι] + καὶ C a prima manu L 33. 64. *Cyrillus* Act. Eph. IV.
αὐτοῖς] ταῖς καρδίαις αὐτῶν C a prima manu.
14. δέδωκα αὐτοῖς τὸν λόγον σου] δεδώκασι τὸν λόγον σου ἐν αὐτοῖς D.
ἐκ] + τούτου D. Codices *Latini*.
ἐγὼ posterius] — 47. 61. 96.
ἐρωτῶ] + δὲ 106.
ἐγὼ] κἀγὼ D 69. 97. Versio *Vulgi*.
ἐκ τοῦ κόσμου οὐκ εἰμὶ] οὐκ εἰμὶ ἐκ τοῦ κόσμου ACD 74. Editio *Colinaei*. Versio *Syr. Copt. Vulg. Cyrillus, Chrysost.*
17. σου] — AC a prima manu. DL 1. Versio *Vulg. Goth. Cyrillus*. probante *Bengelio*, & *Millio* prol. 1348.
18. καθὼς] + σὺ πάτερ 106.
19. ἐγὼ] — A 71.
καὶ αὐτοὶ ὦσιν] ὦσιν καὶ αὐτοὶ AC a prima manu. D 1. 69. Versio *Goth. Vulg. Syr. Copt. Cyrillus*.
20. μόνον] μόνων Versio *Syra* posterior in margine.
περὶ posterius] + πάντων 1. 15. 27. 42. 78. Versio *Syra* posterior in codice Barsalibae.
πιστευσόντων] πιστευόντων ACDEHKLM 1. 2. 4. 5. 6. 7. 8. 9. 10. 12. 14. 15. 16. 33. 34. 35. 36. 37. 38. 39. 40. 42. 45. 46. 49. 51. 52. 60. 64. 68. 69. 70. 71. 72. 74. 83. 86. 90. 91. 95. 96. 97. 106. Evang. 2. 3. 4. 5. 6. 9. 10. 12. 13. 14. 15. 16. 17. 18. 20. 24. Editio *Complut. Plantin. Genev.* Versio *Goth. Copt. Syra* utraque, *Cyrillus, Chrysostomus, Basilius* Ascet. prooem. & 70. bis Eth. 60. MS. *Athanasius* c. Arium IV. *Epistola ad Theophilum* Imp. de Imagin. I. *Alexii Comneni* Novella 7. apud Cotelerium. *Theophylactus, Nonnus*. probante *H. Grotio*, & *J. Millio* prol. 747. πεπιστευκότων 47. 56. 58. 59. 62.
τοῦ λόγου] τὸν λόγον 64.
ἓν posterius] — C a prima manu. D. Versio *Armen*. Cod. *Lat. Athanasius* c. Arian. IV. MS. Basilienſis.
22. καὶ ἐγὼ] κἀγὼ D.
δέδωκας] ἔδωκας AD 106. *Cyrillus* Act. Eph. V. *Hyppolytus* c. Noët. 7. *Clemens* paed. I. 8. probante *Bengelio*.
δέδωκα] ἔδωκα A. probante *Bengelio*.
ὦσιν] + τὸ D.
ἐσμεν] — DL 1. *Clemens* l. c. *Cyrillus* A. E. V. & c. Nestorium 123. 124. *Hippolytus*.
23. ἐγὼ σὺ αὐτοῖς, καὶ σὺ σὺ ἐμοὶ] σὺ ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτοῖς D 59.
καὶ ἵνα] ἵνα DL 33. 69. Versio *Copt*. Codices *Latini*. *Cyrillus* in l.
ἠγάπησας prius] ἠγάπησα D 42. 96. Evang. 6. 22. Versio *Syra* prior, & posterior in margine, *Copt*. Codices *Latini*. *Chrysostomus*,
δέδωκας] ἔδωκας A.
θεωρῶσι] θεωρήσωσι G.
ἔδωκας] δέδωκας ADLM 1. 11. 37. 44. 56. 58. 59. 60. 62. 64. 69. 73. 74. 89. 90. 106. Evang. 2. 6. Editio *Complut. Plantin. Eusebius* Th. E. III. 18. *Hippolytus, Epistola ad Theophilum*.
ἐμοὶ] σὺ μοὶ D.
ἵνα prius] — Evang. 2.
τὴν ἐμὴν] — D.
24. οὓς] ὃ D. Versio *Goth*.
κἀκεῖνοι] ἐκ εἰκεῖνοι A.
25. δίκαιε] ἅγιε 2.

IX. 41. 1. *Sam.* I. 11.

πάτερ ἅγιε] *Ovidius* F. II. 127. Sancte pater patriae. de Ponto IV. 32. Sancte pater patriae. *Propertius* IV. 9. 71. Sancte pater salve, cui jam favet aspera Juno, Sancte, velis libro dexter adesse meo. *Valerius Flacc.* I. 11. Eripe me populis & habenti nubila terrae, Sancte pater. *Livius* II. 10. Tiberine pater te sancte precor, haec arma & hunc militem propitio flumine accipias. *Plinius* Panegyr. II. 1. *Chron.* XXX. 18. *Judae* 21.

12. *Esaj.* LVII. 4. 2. *Thess.* II. 3. 2. *Pet.* II. 14. *Sir.* XVI. 10.

17. *Sanctificare* est aliquem eligere ad certum munus obeundum, eumque praeparare atque idoneum reddere. In precibus Judaicis: Sanctifica nos in praeceptis tuis.

19. *Heb.* IX. 14. X. 1. 2. 14. *Eph.* V. 25. 26. *Tit.* II. 14. *Exod.* XIII. 2. *Levit.* XXII. 2. *Jos.* Maccab. 17. καὶ οὗτοι ἓν ἁγιασθέντες διὰ θεὸν τετίμηνται.

21. 1. *Cor.* III. 11. XI. 3. *Eph.* I. 10. 11. IV. 15. 16. 2. *Chron.* V. 12. 13. *Ezech.* XXXVII. 19. 21. *Act.* II. 44—47. IV. 32. 33. 34. V. 12. 13. 14.

22. δόξαν ἣν δέδωκας] *Tacitus* H. II. 77. Me Vitellio antepono, te mihi — Si vincimus, *honorem, quem dederis*, habebo, discrimen ac pericula ex aequo partiemur. *Heb.* III. 1.

24. Vid. comm. 5. *Beza* in annotatt. Edit. 3. 4. 5. πρὸ καταβολῆς. Hanc particulam, inquit, alii cum verbo ἠγάπησας conjungunt, alii cum verbo ἔδωκας *dedisti, id est, dare decrevisti.*

Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ 25
με ἀπέστειλας. Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠ- 26
γάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

ΤΑῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ κέ- 1
δρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἤιδει δὲ καὶ Ἰούδας, 2
ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν
αὐτοῦ. Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρ- 3
χεται

καὶ prius] — D. Versio *Vulg. Copt. Armen.* Habet autem ἵμφασιν, si conferatur cum ϵ quod sequitur.
κόσμος] + τοῦτος D. inepte. σὲ posterius] — A.
ἔγνων] ἔγνωκα D. καὶ οὗτοι ἔγνωσαν] — 69.
οὗτοι] αὐτοὶ 96. Versio *Syra* posterior & edita in margine.
ἔγνωσαν] + ϵ ἐπίστευσαν ἀληθῶς 74. 89. 26. ἡ] καὶ 96.
ἣν] ᾗ D. *Augustinus:* non est usitata locutio: dilectio quam dilexisti me — usitate quippe diceretur: dilectio, qua dilexisti me. De Graeco quidem ista translata est.
1. τοῦ κέδρων] τοῦ κέδρε D. Versio *Copt.* Codices *Latini.* τοῦ κεδρὼν A. Versio *Vulg. Hieronymus.* probante *T. Beza*, & *J. Casaubono*, *Camerario*, *S. Castalione*, *J. Drusio*, *J. Boisio.* τοῦ δένδρων 9. τοῦ κίδρων 48. 56. 58. 67. Evang. 22. κίδρων *J. A. Bengelio* in Gnom. εἰσῆλθεν] εἰσῆλθον E.
2. δὲ] — G. παραδιδοὺς] παραδιδοῦ D.
συνήχθη] + καὶ E 2. 11. 12. 14. 16. 28. 34. 36. 37. 38. 39. 40. 45. 46. 49. 52. 53. 57. 60. 63. 64. 71. 72. 74. 80. 86. 87. 96. 97. Evang. 2. 9. 10. 12. 13. 16. ὁ] — 34. 39.
ὁ Ἰησοῦς ἐκεῖ] ἐκεῖ ὁ Ἰησοῦς D. Versio *Syr.*
3. λαβὼν] + ὅλην 13. 69. παραλαβὼν 1. *Cyrillus*, *Chrysostomus.* ἐκ] — 71.
ἀρχιερέων καὶ] + ἐκ τῶν DL. Codices *Latini. Cyrillus* c. Nestor. p. 133.

Marc. VI. 25. X. 35. *Matth.* XII. 38.

24—26. de Apostolis sermo est.

1. χειμάρρου] *Eustathius* in Il. δ. p. 379, 12. διὰ τοῦτο οὐδὲ ἀένναον παρείληφε ποταμὸν, ἀλλὰ χείμαρρον, διὰ τὸ τραχύτερον τῆς βοῆς — δῆλον δὲ, ὅτι χειμάρρους ποτὲ καὶ ὁ τόπος λέγεται, κἂν ξηρὸς ᾖ, ὁ σχεδὸν ποτε τοιοῦτον ποταμὸν. *Hesychius.* χείμαρροι — οἱ ποταμοὶ καὶ ῥύακες. *Lex. MS. Psalm.* χείμαρρος, χειμερινὸς ποταμός. *Suidas.* χείμαρρος, ὁ ἐν τῷ χειμῶνι ῥέων ποταμός.

κέδρων] οἱ O. κέδρων quinquies sine articulo ponunt: bis cum articulo pluralis numeri, 2. *Sam.* XV. 23. in Codice A. 1. *Reg.* XV. 13. 2. *Reg.* XXIII. 4. juxta *Symmachum*, *Theodotionem* & Vulgatam mentio fit τῆς φάραγγος, convallis Cedron. *Josepho* etiam & torrens & vallis Cedronis memoratur A. VII. 1. 2. Σημεῖόν δ' ὅδε προσέταξεν οἰκίαν οἰκοδομήσαντα μένειν ἐν Ἱεροσολύμοις αὐτῷ προσευχόμενον, καὶ μὴ διαβαίνειν τὸν χείμαρρον κεδρῶνος ἔχειν ἔξεσίαν. IX. 7. 3. Ἰούδας δὲ καλέσας τοὺς ἑκατοντάρχας ἐκέλευεν αὐτοὺς ἀγαγόντας τὴν Γοβολίαν εἰς τὴν φάραγγα τοῦ κεδρῶνος ἀνελεῖν ἐκεῖ. B. V. 2. 3. προσετέτακτο δὲ αὐτοῖς, ἓξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσην φάραγγι βαθείᾳ διειργόμενον, ἣ κεδρὼν ὀνόμασται. 4. 2. εἰς τὴν κεδρῶνα καλουμένην φάραγγα. 6. 1. κατεῖχε δ' ὁ μὲν Σίμων τήν τε ἄνω πόλιν, καὶ τὸ μέγα τεῖχος ἄχρι τοῦ κεδρῶνος — ὁ δὲ Ἰώαννης τό τε ἱερὸν καὶ τὰ περὶ τοῦτο ὀλίγον, τόν τε ὀφλᾶν καὶ τὴν κεδρῶνα καλουμένην φάραγγα. 12. 2. ἀρξάμενος δ' ἀπὸ τῆς ἀσσυρίων καλουμένης παρεμβολῆς — ἐπὶ τὴν κατωτέρω καινόπολιν ἦγε τὸ τεῖχος, ἔνθεν διὰ τοῦ κεδρῶνος ἐπὶ τὸ ἐλαιῶν ὄρος. *Joma* f. 58. 2. Sanguis redundans post aspersionem altaris interioris effunditur ad fundamentum occidentale altaris exterioris. Et sanguis redundans ab altari exteriori effunditur ab basin ejus Australem: & sanguis iste & ille concurrentes descendebant per meatum subterraneum in torrentem Cedron. Et venditi sunt hortulanis ad stercorandum hortos, atque illi dato pretio iis utuntur. Nomen videtur habuisse a tenebris & obscuritate vallis inter duos montes altissimos mediae. Æstivo tempore flumen esse desinit, & sicco transitur pede, teste *Maundrello* p. 100. *Targum* Sophon. I. 11. Ululate omnes habitantes torrentem Cidron.

κῆπος] *Od.* δ. 737. καί μοι κῆπον ἔχει πολυδένδρεον. *Athenaeus* XII. p. 536. A. πανορμῖται πᾶσα κῆπος, διὰ τὸ πᾶσα εἶναι πλήρης δένδρων ἡμέρων. *Hesychius.* κῆπος, παράδεισος.

3. μετὰ — ὅπλων] *Thucyd.* μεθ' ὅπλων, in armis. *Æschines* c. Ctesiph. ἥκοντες πρὸς ἡμᾶς μεθ' ὅπλων παιδημεί.

φανῶν] φανὸς antiquis facem, recentioribus laternam significat: quae differunt, ut candela & candelabrum. *Glossarium.* lanterna φανὸς. Candela φανὸς. *Ammonius* p. 90. Λυχνοῦχον καὶ λαμπτῆρα φασὶ τὸν νῦν φανὸν. φανὸν δὲ τὴν λαμπάδα, καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ τραγικοὶ διὰ τοῦ π. Πανὸν. *Phrynichus* p. 18. φανὸς ἐπὶ τῆς λαμπάδος, ἀλλὰ μὴ ἐπὶ τοῦ κιρατίνου λέγε. τοῦτο δὲ λυχνοῦχον. *Pollux* VI. 102. λύχνος καὶ λυχνία, ἔτι δὲ ἐκαλοῦντο αἱ λυχνίαι. καὶ λυχνοῦχος ὁ νῦν φανὸς. φανὸς δὲ λαμπὰς, καὶ λαμπτὴρ, καὶ δᾷδες. & X. 116. ὁ δὲ νῦν φανὸς καὶ λυχνοῦχος — λαμπτῆρας ἀντιπεφραγμένους ὑποδηλοῖ δὲ τὸν ἐκ κέρατος φανὸν. Παντὸς μέντοι καὶ φανὸς ἡ λαμπὰς, ὡς ὅταν φῇ ἐν τῇ Ἀλκμήνῃ Εὐριπίδης· πόθεν δὲ πεύκης παντὸν ἐξεῦρες λαβών; *Thomas.* φανὸς ἐπὶ λαμπάδος, ἀλλὰ μὴ ἐπὶ κιρατίνου λέγε. τοῦτο δὲ λυχνοῦχον. & : λυχνοῦχον καὶ λαμπτῆρα φασὶν· φανὸν δὲ τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ τραγικοὶ διὰ τοῦ π. πανόν· λυχνίον δὲ τὴν λυχνίαν. *Hesychius.* φανὸν — Ἀττικοὶ δὲ λυχνοῦχον ἐκάλεν, ὃ ἡμεῖς νῦν φανόν. & Δίλιτρον, φανὸς, ὃν οἱ νυκτιφυλακοῦντες φαίνουσι. *Galenus* Glossar. Hippocr. λαμπτὴρ, ὃν ὄνοι [l. οἱ] πολλοὶ φανὸν ὀνομάζουσι, ἐν τῷ β. περὶ νούσων τῷ μείζονι· παρὰ μέντοι τοῖς ἄλλοις, καὶ μάλιστα τοῖς Ἀττικοῖς, ἐν ᾧ ξύλα τε κατακαίοντο παρίξοντα φῶς. ἀλλὰ καὶ ὁ δᾷδος καὶ ὁ λύχνος ἐστὶν ὅτε λαμπτὴρ ὀνομάζεται. *Artemidorus* V. 20. ἔδοξέ τις τὸν δᾶλον αὐτοῦ φανὸν γεγονέναι, τοῦτ' ἐστὶν ὅπερ λαμπτῆρα καλοῦσιν. *Aristophanes* Pace 841. Ἰππὺς Schol. ὃς νῦν ἡμεῖς

4 χε) ἐκεῖ μ῀ φανῶν ϗ λαμπάδων ϗ ὅπλων. Ἰησ῀ς ο῀ν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽
5 αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησο῀ν τ῀ Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησ῀ς· Ἐγώ εἰμι. Εἱστήκει δὲ ϗ Ἰούδας ὁ π῀αραδιδοὺς αὐτὸν μετ᾽ αὐτῶν.
6 Ὡς ο῀ν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, ϗ ἔπεσον χαμαί. Πάλιν
7 ο῀ν αὐτὸς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησο῀ν τ῀ Ναζωραῖον. Ἀπεκρίθη ὁ
8 Ἰησ῀ς· Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ ο῀ν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. Ἵνα π῀λη-
9 ρωθῇ ὁ λόγ῀ς, ὃν εἶπεν· Ὅτι ο῀ὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν ο῀ὐδένα.

Σί-

4. Ἰησ῀ς ο῀ν] ὁ δὲ Ἰησ῀ς 69. Ἰησ῀ς δὲ DL 1. Versio *Copt. Syr.* Codices *Latini. Cyrillus* c. Nestor.
εἰδὼς] ἰδὼν D. 69. 90. ἐρχόμενα] ἐπερχόμενα 34. 36. 39. 40. 51. *Theophylactus.* αὐτὸν] αὐτῷ Ev. 6.
ἐξελθὼν εἶπεν] ἐξῆλθε ℭ λέγει CD 1. Versio *Vulg. Origenes* in Jo. XI. 54. c. Celf. p. 64. *Cyrillus, Chryſoſtomus. Auguſtinus.*
5. αὐτῷ] + ℭ εἶπον Versio *Goth. Copt.* Ναζωραῖον] Ναζαρηνὸν D.
ὁ Ἰησ῀ς] — D 44. 56. 58. Codices *Latini.* ϗ] — 63. Codices *Latini.*
6. ο῀ν] — A. αὐτοῖς] + ὁ Ἰησ῀ς Colb.
ὅτι] — ADL. 1. 33. 42. 106. Versio *Vulg. Copt. Origenes* c. Celf. p. 64. probante *J. Millio* prol. 1201.
ἀπῆλθον] ἀπῆλθαν D. ἔπεσον] ἔπεσαν DL. 1. 7. ο῀ν] — 59. 73. Cod. *Lat.*
αὐτὸς ἐπηρώτησε] ἐπηρώτησεν αὐτὸς AC. 69. 106. Versio *Syr. Origenes* in Jo. XI. 54. *Cyrillus.* + λέγων D.
εἶπον] εἶπαν πάλιν D. + αὐτῷ 47. 56. 58. 61. *Origenes* c. Celf. p. 64.
8. ἀπεκρίθη] + αὐτοῖς D. 1. 16. 47. 56. 58. 61. 69. Versio *Syr. Armen. Origenes* l. c.
ὁ] — AC 44. 72. 74. 80. 90. 106. Evang. 6. Editio *Complut. Bengelii. Theophylactus.*
ὁ Ἰησ῀ς] — 56. 58. 61. Colb. duo. 9. δέδωκας] ἔδωκας D 42.
ἐξ ἀπώλεσα ἐξ αὐτῶν ο῀ὐδένα] ἐξ αὐτῶν ο῀ὐδένα ἀπώλεσα D. αὐτῶν] αὐτ῀ A.

ἡμεῖς λαμπτῆρας ἢ φανὸς καλεῖμεν. Τὸς δὲ νῦν φανὸς καλεμένος λύχνος τινὰς φασι λέγειν τῶν παλαιῶν· τὰς δὲ λαμπάδας τὸς τραγικὸς φανὸς ἢ πανὸς διὰ τ῀ π. Acharn. 936. λυχνοῦχος Schol. λυχνοῦχον, ὃν λέγομεν φανὸν ἢ λαμπτῆρα. *Athenaeus* XV. p. 699. D. ἐπεί ποτε ἑσπέρα κατελάμβανεν ἡμᾶς, ὁ μέν τις ἔλεγε· πᾶι, λύχνειον, οἱ δὲ λυχνέα, ὁ δὲ λοφνίαν, ὕτω καλεῖσθαι φάσκων τὴν ἐκ φλοιῦ λαμπάδα, ὁ δὲ πανὸν, ἄλλος δὲ φανὸν· ὁ δὲ Λυχνοῦχον, ὁ δὲ λύχνον —— Σιληνὸν μὲν γάρ τις τὸν γλωσσογράφον ἔφασκεν Ἀθηναίους λέγειν τὰς λαμπάδας φανούς. Τιμαχίδας δὲ ὁ Ῥόδιος ἔλεγεν τὸν φανὸν καλεῖσθαι, οἷον φησὶν οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσιν, ὃς ὅτοι ἑλάφας καλοῦσι. Ἀμερίας δὲ γράβιον τὸν φανόν. Σέλευκος δὲ ὅτως ἐξηγεῖται ταύτην τὴν λέξιν, γράβιον ἐστι πρίνινον ἢ δρύϊνον ξύλον, ὅπερ ἐθλασμένον καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιπορῦσι —— Ἄλεξις —— ποῖος γάρ ἐστι φανὸς, ὦ πρὸς τῶν θεῶν; τοιοῦτος οἷος ὁ γλυκύτατος ἥλιος. Ἀναξανδρίδης λαβὼν τὸν φανὸν ἄψοις μοι λύχνον. Ἄλλοι δ᾽ ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα, οἱ δὲ τὴν ἐκ τινων ξύλων τετιμημένην δέσμην. Μέναδρος ἀνεψιοῖς· ὁ φανός ἐστι μισὸς ὕδατος ὑτοσί, δεῖ τ᾽ ἐχὶ σείειν, ἀλλὰ σποδιεῖν αὐτὸν —— Φιλιππίδης Συμπλεύσαις· ὁ φανὸς ἡμῶν ἐκ ἔφαινεν ὁδὸ ἓν᾽ ἔπειτα φυσᾷ δυσυχὴς ἐκ ἠδύνω; ——πανὸς δ᾽ ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον. τάτα δ᾽ ἐχρῶντο λαμπάδι —— Δίφιλος Στρατιώτῃ· ἀλλ᾽ ὁ πανὸς ὕδατος ἐστι μισὸς. πρότερος δὲ τούτων Αἰσχυλος ἐν Ἀγαμέμνονι μέμνηται τ῀ πανὸς, ἐχρῶντο δ᾽ αὐτῷ ὡς λαμπάδι. *Anthol.* VII. 192. ἔσπευδον τὸν ἔρωτα φυγεῖν, ὁ δὲ βαιὸν ἀνάψας φάνιον ἐκ τέφρης. *Bereſchith* R. LXVIII. 12. extinguite lucernas, extinguite τὸς φανὸς, quia cum amico meo ſecreto loqui volo. *Celſ.* II. 4. ὁ φανὸς, qui receptaculum olei habet, immundus eſt: qui non habet, mundus. *Euſtathius* in Il. σ. p. 1258. 40. ἰσέον δὲ, ὅτι τὸ παρ᾽ ὁμήρῳ στέλας πυρὸς, ὅτοι πυρσὸν, φανὸν οἱ νεώτεροι εἶπον Ἀτ῀ικοί· ὁ δ᾽ αὐτὸς καὶ πανὸς ἀπὸ τ῀ φαίνειν σχηματισθεὶς —— Ἦν δέ φασι δέσμην κληματίδων ὁ πανὸς καὶ Ἀτ῀ικῶς φανὸς· ὃν δ᾽ ἡμεῖς φανὸν, λαμπτῆρα οἱ παλαιοὶ ἔλεγον. & in Od. α. p. 70. οἱ δὲ παλαιοὶ φασὶν καὶ ὅτι δᾶς ἡ ἐκ δάδων λαμπὰς· φανὸς δὲ ἡ ἐκ κληματίδων, ἡ καὶ πανὸς ἐλέγετο, καθὰ ἐν ἄλλοις διδήλωται. in Od. π. p. 272. 43. Ἀθηναίων κατὰ τὸν γλωσσογράφον Σιληνὸν φανὸς ὀνομαζόντων τὰς λαμπάδας, ἔστι συναγαγεῖν ταῦτα τινα πολυωνυμίας λόγῳ εἶναι δᾶδας, φανὸς, λαμπάδας. Τιμαχίδας δὲ, φησὶ, δέλετρον καλεῖ τὸν φανὸν, ὃν οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσι —— εἴρηται δὲ καὶ λυχνοῦχος καλέμενος ὁ φανὸς. Ἄλεξις γάρ φησι· ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν τῆς νυκτὸς; ἦν τις κηδεμὼν τῶν δακτύλων. Ὁ δ᾽ αὐτὸς ἐν ἄλλοις ἔφη· ποῖος ἐστι φανὸς τοιοῦτος, οἷος ὁ γλυκύτατος ἥλιος. Ἐστι δὲ, φασι, φανὸς ἡ ἐκ ξύλων τετμημένων δέσμη, καὶ δηλοῖ αὐτὸ Φιλιππίδης ἐν τῷ· οὐ φανὸς ἡμῶν ἐκ ἔφαινεν ὁδὸν. πρὸς ὃ λέγει ὁ ἀκούσας· ἔπειτα φυσᾷ δυσυχὴς ἐκ ἠδύνω; —— πανὸς δὲ φησι χρῆσις παρὰ Διφίλῳ, οἷον· ἀλλ᾽ ὁ πανὸς ὑδατός ἐστι μισὸς, ὅτοι ὁ φανὸς ξύλα ἔχει χλωρότατα καὶ διὰ τοῦτο ὑδατηρὰ. *Dionyſ.* H. IX. ἐξέτρεχον ἅπαντες ἐκ τῶν σκηνῶν ἀθρόοι, φανὸς ἔχοντες καὶ λαμπάδας.

4. Supra XIII. 1. *Herodotus* VII. 228. Μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς, ἐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν. *Joſ.* A. VI. 14. 4. εὐψυχοὶ δὲ, καὶ μεγαλότολμοι, καὶ τῶν δεινῶν καταφρονητὰι μόνοι δικαίως ἂν λέγοιντο πάντες οἱ Σάελον μιμησάμενοι. τὸ μὲν γάρ μὴ εἰδότας, τί μέλλοι συμβήσεσθαι κατὰ τὸν πόλεμον αὐτοῖς, μὴ μάλακισθῆναι περὶ αὐτὸν, ἀλλ᾽ ἀδήλῳ τῷ μέλλοντι παραδόντας αὐτὸς ἐπ᾽ αὐτ῀ σαλεύειν, ὃ᾽ ὕτως γενναῖον, κἂν ἔργα πολλὰ διαπραξάμενοι τύχοιεν· τὸ δὲ μηδὲν ἐν τῇ διανοίᾳ χρησὸν προσδοκῶντας, ἀλλὰ προειδότας, ὡς δεῖ θανεῖν, καὶ τότε παθεῖν μαχομένους, εἶτα μηδὲ φοβηθῆναι, μηδὲ καταπλαγῆναι, τῦτ᾽ ἀνδρείᾳ ἀληθῶς τεκμήριον ἐγὼ κρίνω. IX. 4. 3. Ἑλλισσαῖος δὲ μετὰ ταῦτα καὶ τὰς τῶν πολεμίων ὄψεις ἀναυρῶσαι τὸν θεὸν παρεκάλει, ἀχλὺν αὐτοῖς ἐπιβαλόντα, ἀφ᾽ ἧς ἀγνοήσειν αὐτὸν ἔμελλον. γενομένῳ δὲ τούτῳ, καὶ παρελθὼν εἰς μέσους τὸς ἐχθρὸς ἐπηρώτησε, τίνα ἐπιζητοῦντες ἦλθον; τῶν δὲ τὸν Προφήτην Ἐλισσαῖον εἰπόντων, παραδόσειν ὑπέσχετο. *Act.* XX. 22. 23. 24. XXI. 11. 12. 13.

6. ἔπεσον χαμαί] Proni. *Il.* ε. 583. χαμαὶ πέσον ἐν κονίῃσι. *Heſiod.* Scut. 365. πρηνὴς δ᾽ ἐν κονίῃσι χαμαὶ πέτεν ἔγχεϊ ὁρμῇ. *Libanius* D. XXXIV. p. 764. A. χαμαὶ καθεύδειν. XXXVI. p. 798. B. ἔπει δὲ ἐκάμνομεν χαμαὶ, βορβόρῳ δὲ ἀνεπλεκὲς ἦν, καὶ κακῶς εἶχον ὑπὸ τ῀ πτώματος. *Job.* I. 20. *Gen.* XLIX. 17. *Eſ.* XXVIII. 13. *Arrian.* Exp. Alex. V. 314. de Nyſſaeis θαμβῆσαι ἰδόντας τὴν ὄψιν, καὶ πεσόντας ἐς γῆν ἐπὶ πολὺ σιγὴν ἔχειν. *Thanchuma* f. 16. 1. Dixit Simeon —— videbo, quis me in carcerem ducere queat. Miſit Joſephus ad Pharaonem, ut ſibi LXX. viros fortes mitteret, ad conſtringendum latronem —— Dixitque ad illos: mittite hunc in carcerem, & catenis

Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν — σου εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό; Ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος, καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτόν. Καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω· ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί. Εἱστήκεισαν δὲ οἱ δοῦλοι, καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου

10 11 12 13 14 15 16 17 18 19 20

10. Σίμων οὖν] τότε Σίμων D.
ὠτίον] ὠτάριον L. Versio *Syra* posterior in marg.
τῷ δούλῳ] τοῦ δούλου ἐκείνου D. 29. Evang. 17. Codices *Latini*. + ἐκείνῳ 13.

11. σου] — ACDEKLM. 2. 3. 10. 11. 16. 33. 35. 37. 38. 44. 45. 47. 49. 55. 56. 58. 61. 62. 66. 70. 72. 73. 80. 83. 91. 96. 97. 106. Evang. 9. 12. Editio *Complut. Bengelii.* Versio *Goth. Syr.* utraque, Codices *Lat. Copt. Armen. Nonnus.* probante *J. Millio* prol. 910.
θήκην] + αὐτῆς 69. Versio *Copt. Armen. Syra* utraque.
πατήρ] + μου 69. Versio *Syr.*
αὐτὸν] — CD. 91. *Cyrillus, Chrysostomus, Theophylactus.*
οὖν] δὲ Versio *Syra* posterior.
ἐκείνου] + ὃ ἀπέστειλεν αὐτὸν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα vid. Annot. Erasmi cit. Bogardo. *Beza* in Versione & Annot. ex comm. 24. + ἀπέστειλεν οὖν αὐτὸν δεδεμένον πρὸς καϊάφαν τὸν ἀρχιερέα Vers. *Syra* posterior in marg.

14.] ab hoc commate, veteribus foliis perditis, *Codex* D. ab alia manu imperite exaratus est usque ad XX. 13. & ita quidem ut Graecis e regione non Versio Itala sed Vulgata Latina respondeat. δὲ] + ὁ 56. 58.
ἀπολέσθαι] ἀπολωλεῖν DL 33. 38. 66. in ora Colb. 69. 91. Versio *Vulg Copt. Armen. Syr.* prior, & posterior in margine. *Cyrillus. Nonnus, Chrysostomus.*
λαοῦ] + ὁ μὴ ὅλον τὸ ἔθνος ἀπόληται 53. Colb. duo.
15. ὁ prius] — AD 106. Versio *Vulg. Goth.* Editio *Erasmi, Colinaei, Bengelii.*
δὲ prius] — 69.
a μαθητὴς ad μαθητὴς] — 2.
συνεισῆλθε] συνῆλθε 3. 9. 12.
τῷ Ἰησοῦ poster.] — 96. 69. prius.
τὴν αὐλὴν] τὸ πραιτώριον 28.
τοῦ ἀρχιερέως] — Versio *Goth. Syr.* probante *J. Millio* prol. 913.
16. εἱστήκει] ἑστήκει Editio *Erasmi* 1. 2. 3. 4.
τῇ θύρᾳ] τὴν θύραν 16. 56. 58. 61. 68. 69. 95. 96. 106. Evang. 9. 12. 13 15.
ἔξω] — 63.
ἐξῆλθεν] εἰσῆλθεν 69.
ὁ ἄλλος] ἐκεῖνος 47. 56. 58. 61. 69. 71. Evang. 6. 15. Versio *Copt.*
τῷ ἀρχιερεῖ] τοῦ ἀρχιερέως L. Versio *Copt.*
τῇ] τῷ D. Versio *Syra* posterior, & edita in margine.

17. οὖν] — Evang. 6. Versio *Copt.*
ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ] τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρὸς C. a prima manu. Versio *Vulg. Cyrillus.*

18. δὲ] — L.
ἐθερμαίνοντο] — 1. Codices *Lat.*
μετ' αὐτῶν ὁ Πέτρος] ὁ Πέτρος μετ' αὐτῶν CL 1. 33. 69. Versio *Syr.* prior & posterior habet ὁ cum asteriſco *Vulg. Cyrillus.* μετ' αὐτῶν ὁ Πέτρος 69.
δὲ posterius] — 69.
αὐτῷ] — C. 73. Codices *Latini.*
ὁ] — D.
ἐλάλησα] λελάληκα AC. a prima manu L. 1. 33. 91. *Cyrillus.* + ἐν 39.
τῇ] — ADGHM. 3. 9. 10. 11. 44. 69. 73. 74. 83. 86. 90. 97. 106. Codices plurimi, teſte Millio. Evang. 6. 24. probante *Bengelio.*
πάντοθεν] πάντες ACL 1. 13. 42. 59. 66. in ora 69. Versio *Vulg. Syr.* prior *Copt. Armen. Æthiop.* Editio *Erasmi, Colinaei, Bogardi, Bengelii. Basilius* Eth. 70. probante *J. Millio* prol. 916. πάντοτε DE. 2. 12. 16. 34. 35. 36. 37. 38. 39. 40. 72. 80. 90. Evang. 2. 6. 9. 10. 12. 13. 14. 15. 16. 17. Editio *Complut.*

conſtringite. Cum accederent ad eum, clamare coepit: audito vero clamore prociderunt in faciem, ita ut dentes illis frangerentur. S. D. Job. IV. 10. 6. *Bereſchith* LXXVI.

10. Μάλχος] *Nehem.* X. 4. 27. *Porphyrius* Philoſophus vocatur Μάλχος. Μάλχος alius vitam Pythagorae ſcripſit. *Suidas.* Μάλχος βυζάντιος σοφιστης, ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας κωνσταντίνου, καὶ ἕως Ἀναστασίου. *Peripli Auctor.* δὲ ἧς ἐστιν εἰς Πέτραν πρὸς Μάλιχαν βασιλέα Ναβαταίων. *Hirtius* de B. Alex. initio. Rex Nabataeorum Malchus. *Joſ.* A. XIII. 5. 1. τρύφων — παραγίνεται — πρὸς Μάλχον τὸν Ἄραβα. XIV. 14. 1. Μάλχον τὸν Ἀράβων βασιλέα. & 2. *Hieronymus.* Erat illic quidam ſenex nomine Malchus, quem nos Latine regem poſſumus dicere, Syrus natione & lingua.

11. Inde ὁπλοθήκη dicitur.

14. *Varinus.* τὸ συμβουλεύειν κατὰ φωνὴν ἐνεργητικὴν οἱ παλαιοὶ τῶν ῥητόρων προέγγισιν· ὕστερον δὲ τὸ παθητικὸν ἐπεπόλασε.

15. Inf. 16. XX. 2. 4. 8. XXI. 23. i. e. Joannes.

16. *Act.* XII. 13. *Plautus* Curcul. I. 1. 76. Anus hic ſolet cubitare cuſtos, janitrix. *Petronius* 95. anus inſtigat canem in Eumolpum. 2. *Sam.* IV. 6.

18. ἀνθρακιὰν] Infra XXI. 9. *Il.* I. 213. ἀνθρακιὴν

21 ὅπου ~ πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται), κἀγὼ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς;
ἐπερώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.
22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰ-
23 πών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα,
24 μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἀπέστειλεν — οὖν αὐτὸν ὁ
25 Ἅννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινό-
μενος. εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν·
26 Οὐκ εἰμί. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ
27 ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ
28 εὐθέως ἀλέκτωρ ἐφώνησεν. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν
δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φά-
29 γωσι τὸ πάσχα. Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν
30 φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακο-
31 ποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν
ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν· Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξε-

στιν

~ πάντοτε

Plantini, Wechelii, Genev. Verſio *Goth. Syra* poſterior. *Cyrillus, Theophylactus. Horologium Graecorum*, probante *H. Grotio*. Sed *Beza: In vetuſtis Codicibus legimus* πάντοτε: *Ego vero exiſtimo vel legendum* πάντες *vel* πάντοθεν, *quod facile potuit a librariis mutari in* πάντοτε. Et ita quidem, quod mireris, contra omnes Codices edidit.

συνέρχονται] συνήρχοντο. M. 33. 49. Colb.
ἐπερώτησον] ἐρώτησον CL. 1. 69. *Cyrillus, Chryſoſtomus.*
22. δὲ] — 36. 69.
ὑπηρετῶν παρεστηκὼς] παρεστώτων ὑπηρετῶν C ut videtur a prima manu. L. Codices *Latini.*
παρεστηκὼς] ἑστηκὼς 69. παριστηκότων 91.
αὐτῷ] — 97. Verſio *Goth. Lutheri*, Codd. *Lat.*
δέρεις] δαίρεις 10. 45. 46. 47. 49. 51. 52. 54. 55. 56. 58. 60. 66. 76. 83. 86. 88. *Theophylactus ed.* prob. *Camerario.*
24. οὖν] — AE 2. 16. 34. 35. 36. 37. 39. 40. 63. 64. 72. 74. 83. 86. 97. Evang. 2. 6. 9. 10. 12. 13. 14. 15. Editio *Complut. Eraſmi, Colinaei, Stephani, Plantini, Bogardi, Wechelii, Bengelii, Genev.* Verſio *Vulg. Copt. Theophylactus. Horologium*, probante H. Grotio. δὲ 11. 12. 13. 46. 69. 73. 80. Evang. 16. Verſio *Syr. Goth. Beza: particulam* οὖν *reſtituimus ex fide duorum Codicum:* nos vero Codicibus centum plus tribuimus quam duobus, quorum alter eſt Codex D.
25. Σίμων] — 49. *Chryſoſtomus.*
οὖν] — 9. 10. 12.
ἠρνήσατο] + οὖν EG. 2. 3. 9. 10. 12. 16. 34. 35. 36. 37. 39. 40. 44. 45. 49. 51. 52. 56. 57. 59. 60. 61. 62. 63. 64. 66. 71. 72. 74. 78. 83. 90. Evang. 2. 9. 10. 12. 13. 14. 17. Editio *Complut. Plantin. Genev.* Verſio *Goth. Theophylactus.*
26. λέγει] + οὖν 60. 74.
27. οὖν] — Colb.
28. οὖν] — L. 3. 14. 48. 51. 60. 69. 71. 73. 86. 89. 90. 91. 106. Evang. 2. 18. 24. *Theophylactus.*
τὸν Ἰησοῦν] αὐτὸν 29.
ἦν δὲ πρωΐα] — Cod. Bodlej.
πρωΐα] πρωὶ ACLM 1. 9. 10. 11. 14. 15. Colb. duo 29. 35. 37. 45. 48. 53. 59. 60. 62. 64. 66. 69. 78. 80. 83. 90. 91. Evang. 2. 7. 9. 10. 13. 14. 15. 17. 24. Editio *Complut. Plantin. Genev. Cyrillus, Chronicon. Alex. Auctor Reſponſ.* ad Orthodox. Q. 65. probante *J. Millio* prol. 920. *Bengelio.*
ἀλλ' ἵνα] ἀλλὰ ACD 34. ex emendatione. Verſio *Goth.* Codices *Latini.*
29. οὖν] — 87.
αὐτοὺς] + ἔξω 27. 33. 42. 53. 69. 78. Editio *Eraſmi, Aldi. Colinaei.* Verſio *Vulg. Goth. Syra* poſterior cum aſteriſco. *Cyrillus. Nonnus.*
30. εἶπον] εἶπαν C. a prima manu.
παρεδώκαμεν] παρεδεδώκαμεν 11.
31. οὖν prius] — C. Verſio *Copt. Syr.* Cod. *Lat.*
οὖν poſterius] — Verſio *Syr. Copt.* δὲ AD. 1.
ἐπερωτᾷς] ἐρωτᾷς ACL 33. Ev. 20. *Cyrillus, Chryſ.*
ἴδε οὗτοι οἴδασιν, τί εἶπον ἐγὼ] — Colb.
αὐτοῦ] — 15. 64. εἷς] + τῶν στρατιωτῶν 29. 33.
ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς] ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ 69.
εἰ prius] + μὲν 56. 58. 61.
δέρεις] δαίρεις 10. 45. 46. 47. 49. 51. 52. 54. 55. 56. 58. 60. 66. 76. 83. 86. 88. *Theophylactus ed.* prob. *Camerario.*
θερμαινόμενος] + πρὸς τὸ φῶς 74. 90.
αὐτοῦ εἶ] εἶ ἐκείνε C. a prima manu.
εἶπεν] λέγει A. 33. ἐκ εἰμι] ε 12. 59.
συγγενὴς ὢν] ὁ συγγενὴς 33.
ἠρνήσατο ὁ Πέτρος] ὁ Πέτρος ἠρνήσατο 69. ὁ] ACDG. 1. 73. *Cyrillus.*
πραιτώριον ad πραιτάριον] — D. 61. 89. 90. a prima manu.

χὴν σορίσας ὀβελὸς ἐφύπερθε τάνυσσε. *Athenaeus* VIII. p. 361. D. τῶν ἰχθύων τινα ἀποθέοντα σὺν ἀνθρακιᾷ. *Ariſtophanes* Equit. 777. ὅτι σε τῆς ἀνθρακιᾶς διαλαύει. *Schol.* ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι, καὶ τὰς ἔχοντας οἱ ἄλλοι περικάθηνται, βαλόμενοι εἰς δῦναι. *Jerem.* XXXVI. 22. *Plut.* Symp. p. 693. A. ὁ σοφὸς Ἀνάχαρσις —— ἐπήνει τὴν ἀνθρακιὰν, ὅτι τὸν καπνὸν ἔξω καταλιπόντες, οἰκάδε πῦρ κομίζεσιν.

20. *Eſaj.* XLV. 19.

22. *Ariſtophanes* Acharn. 593. ταυτὶ λέγεις τὸν τραγηγὸν, πτωχὸς ὤν. *Act.* XXIII. 4. 2. 1. *Reg.* XXII. 24.

23. *Euripides* fragm. 372. Ἢ δεῖ μ' ἐλέγχειν, ἤν τι μὴ καλῶς λέγω· ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.

28. μιανθῶσι] *Lucian.* Timon. 43. καὶ τὸ πρόσωμιλῆσαι τίνι αὐτῶν μίασμα.

φάγωσι τὸ πάσχα] 2. *Chron.* XXXV. 7. 9. *Deut.* XVI. 2. Sic etiam hodie Paſcha celebrant.

30. κακοποιὸς] *Ariſtoteles* Eth. IV. 9. οὐ κακοὶ μὲν ἂν δοκῶσιν εἶναι διὰ τοῦτο, οὐ γὰρ κακοποιοί εἰσιν. *Anthol.* II. 25. 7. τίς πρῶτος κακοποιὸς ἐλήλυθε. 1. Pet. II. 12. 14. III. 16. *Act.* XXIII. 2.

31. *Ariſtot.* Rhet. ad Alex. 16. τὸν κρίναντας πιστεύειν αὐτοῖς, κατὰ τοὺς νόμους κρίνειν ὀμωμοκότας. 19. τοὺς δὲ δικάζοντας ὑμᾶς ὀμωμοκέναι κατὰ τὸν νόμον κρινεῖν. *Avoda Sara* f. 8. 2. XL. annis ante excidium templi migravit Synedrium, ſeditque in ta-

ςιν ἀποκτεῖναι ἀδένα. Ἵνα ὁ λόγ☉ τ῀ Ἰησ῀ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θα- 32
νάτῳ ἤμελλεν ἀποθνήσκειν. Εἰσῆλθεν ὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτ☉, κ᾽ ἐφώ- 33
νησε τ῍ Ἰησ῀ν· κ᾽ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τ῍ Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησ῀ς· 34
Ἀφ᾽ ἑαυτ῀ σὺ τ῀το λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμ῀; Ἀπεκρίθη ὁ Πιλάτ☉· 35
Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθν☉ τὸ σὸν κ᾽ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίη-
σας; Ἀπεκρίθη ὁ Ἰησ῀ς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔςιν ἐκ τ῀ κόσμ᾽ τ῀τ᾽· εἰ ἐκ τ῀ 36
κόσμ᾽ τ῀τ᾽ ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέ☉ ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ
τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔςιν ἐντεῦθεν. Εἶπεν ὖν αὐτῷ ὁ Πιλάτ☉· 37
Οὐκ῀ν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησ῀ς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς
τ῀το γεγέννημαι, κ᾽ εἰς τ῀το ἐλήλυθα εἰς τ῍ κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· Πᾶς
ὁ ὢν ἐκ τ῍ ἀληθείας, ἀκού᾽ μου τ῍ φων῀ς. Λέγει αὐτῷ ὁ Πιλάτ☉· Τί ἔςιν ἀλήθεια; 38
Καὶ τ῀το εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, κ᾽ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν
αἰτίαν εὑρίσκω ἐν αὐτῷ. Ἔςι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· 39
βούλεσθε ὖν ὑμῖν ἀπολύσω τ῍ βασιλέα τ῍ Ἰουδαίων; Ἐκραύγασαν ὖν πάντες, 40
λέγοντες· Μὴ τ῀τον, ἀλλὰ τ῍ Βαραββᾶν· ἦν δὲ ὁ βαραββᾶς λης῀ής.

ΤΟ′.

ἀποκτεῖναι ἀδένα] ἀδένα ἀποκτεῖναι 1. Codices *Latini*.
32. Ἰησ῀] θε῀ L 59. κυρίε Versio *Goth. Chryſoſtomus*. ποίῳ] ποῖ A.
ἤμελλεν] ἔμελλεν 3. 10. 74. 90. Editio *Complut*. 33. ὖν] — 66. 97. Versio *Goth. Copt*.
εἰς τὸ πραιτώριον πάλιν] πάλιν εἰς τὸ πραιτώριον C a prima manu D. 69. Versio *Vulg. Copt. Cyrillus*.
πάλιν] — 33. Versio *Syr*. ὁ prius] — D. τ῍ Ἰησ῀ν] αὐτὸν 63.
αὐτῷ] αὐτοῖς D. 34. ἀπεκρίθη] κ᾽ ἀπεκρίνατο D. Codices *Lat*. ἀπεκρίνατο A 1. Evang. 15. Versio *Copt*.
αὐτῷ] — ADM. 1. Colb. Ev. 15. Editio *Eraſmi*, *Colinaei*, *Bogardi*. Versio *Goth. Copt. Vulg. Syra* poſterior.
αὐτῷ ὁ Ἰησ῀ς] ὁ Ἰησ῀ς αὐτῷ C. ὁ] — 1.
σὺ] — D. 59. Versio *Vulg. Chryſoſtomus*. probante *J. Millio* prol. 877.
ἄλλοι σοι εἶπον] ἄλλος σοι εἶπε M. 2. 4. 5. 15. 42. 44. 71. 86. Editio *Eraſmi* 1. Versio *Æthiop*.
σοι εἶπον] εἶπον σοι D. 35. μήτι] μὴ 1. εἰ] — D.
36. ὁ] AD. 1. 3. 44. 72. 73. 74. 90. 106. Evang. 6. Editio *Complut. Plantini*, *Bengelii*. *Cyrillus*, *Theoph*.
βασιλεία ἡ ἐμὴ ſecundo loco] ἐμὴ βασιλεία D. 73. 106.
ἂν οἱ ἐμοὶ ἠγωνίζοντο] οἱ ἐμοὶ ἠγωνίζοντο ἄν L 1. 69. 91. Verſio *Vulg. Origenes* in Jo. I. 1. in Jerem. XIV. c.
Celſ. p. 47. *Cyrillus* in l. & p. 1047. *Chryſoſtomus*. 37. ὖν] — Verſio *Syr*.
αὐτῷ] — 42. Verſio *Copt*. Codices *Lat*. ἀπεκρίθη] + αὐτῷ K. Verſio *Syr*.
ὁ poſterius — 3. 72. ὅτι] — 64. ἐγὼ prius] — D. 1. 69.
τ῀το prius] + κ᾽ A. εἰς poſterius] ἀλλ᾽ 80. πᾶς] — 29. 68.
38. λέγει] + ὖν 51. Verſio *Goth*. ἐςιν] + ἡ 1. Verſio *Goth*.
πάλιν] — Verſio *Goth*. πρὸς τοὺς Ἰουδαίους] — Verſio *Goth*. πρὸς τοὺς ἰδίους 73.
αἰτίαν] + θανάτ᾽ 61. 69. εὑρίσκω ἐν αὐτῷ] ἐν αὐτῷ εὑρίσκω D.
39. συνήθεια ὑμῖν] συνήθεια ὑμῶν L. ἵνα ὑμῖν] ὑμῖν ἕνα 44.
ὑμῖν ἀπολύσω] ἀπολύσω ὑμῖν D. 1. 74. 106. Verſio *Copt. Syr. Vulg. Cyrillus*.
ὑμῖν ἀπολύσω poſterius] ἀπολύσω ὑμῖν D. 1. 69. 74. 90. Verſio *Vulg. Goth. Syr. Copt. Cyrillus*. ἵνα ἀπολύσω 12. 15. 91.
40. πάλιν] — GK. 1. 10. 23. 35. 36. 42. 44. 47. 48. 56. 57. 58. 61. 62. 66. 69. 73. 83. Evang. 2. 7.
14. Editio *Complut*. Verſio *Sax. Copt. Syr. Armen. Æthiop. Arab*. Codices *Lat. Chryſoſtomus*.
πάντες] — 33. 71. 80. Evang. 13. πάντες λέγοντες] λέγοντες πάντες D.
Βαραββᾶν] Βαραββᾶς 69. 80. ὁ] — D.
Βαραββᾶς] + ὅτ☉ 1. Verſio *Copt*. λης῀ς] ἀρχιλης῀ς Verſio *Syra* poſterior in margine.
1. ἔλαβεν ὁ Πιλάτ☉ τ῍ Ἰησ῀ν ☉] ὁ Πιλάτ☉ λαβὼν τ῍ Ἰησ῀ν 33. L. Verſio *Copt*. Codices *Lat*.
ἐμαςίγωσε] + αὐτὸν 60. Codices *Latini*.
2. αὐτ῀ τῇ κεφαλῇ] αὐτ῀ ἐπὶ τὴν κεφαλὴν A. 42. ἐπὶ τὴν κεφαλὴν αὐτ῀ H.
αὐτὸν] αὐτῷ 28. 44. 63. 71. 73. *Theophylactus*. + κ᾽ ἤρχοντο πρὸς αὐτὸν L. 4. 15. 27. 33. 38. 42. 61. in
ora 68. 69 78. 106. Verſio *Vulg. Syr*. utraque, *Copt. Cyrillus Nonnus*. probante *J. Millio*. prol. 911. *Bengelio*.
3. ἔλεγον] + αὐτῷ 57.

bernis. Quid ſibi vult haec traditio? R. Iſaac f. Eudemi dicit, non indixiſſe multas. — R. Nachman f. Iſaaci dicit, ne dicas, non indixiſſe multas, ſed non judicaſſe judicia capitalia. Cum enim viderent, homicidas ita multiplicari, ut non poſſent eos punire, dixerunt: praeſtat ut migremus hinc, quomodo enim poſſemus manere ſine culpa? S. D. Deut. XVII. 10. *Sanhedrin* f. 41. 1. *Schabbath* f. 15. 1.

32. *Sanhedrin* f. 46. 2. dixerunt Rabbini: ſi dictum eſſet: peccavit & ſuſpendes, dixiſſem: ſuſpendunt eum, & poſtea occidunt, quem ad modum Regnum facit; ſed dicitur Deut. XXI. 22.

34. *Thucyd.* V. 60. καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργειων ἀφ᾽ ἑαυτῶν, καὶ οὐ τ῀ πλήθει κελεύσαντος εἶπον.

37. ἐκ῀ν] *Plato* Gorgia. ἀλλὰ μὴν ἡ ῥητορικὴ λέγειν γε ποιεῖ δυνατὸς; ναὶ. Οὐκ῀ν περὶ ὧνπερ λέγειν, καὶ φρονεῖν; Rep. II. ἐκ῀ν ἀγαθὸς ὀγε θεὸς τὸ ὅτι τε καὶ λεκτέον ἔ-τω; τί μήν; —— ἐκ῀ν ὑπὸ μὲν ἄλλε τὰ ἄρισα ἔχοντα ἥ-κισα ἀλλοιῶται τε καὶ κινεῖται; —— πῶς δ᾽ οὔ; *Xenophon* Sympoſ. ἐκ῀ν, ἔφη ὁ καλλίας, καὶ εὐχη μηδέ-ποτε πλυτεῖν; *Cebes* Tab. ὁρᾷς ὀπίσω θυρίον μικρὸν καὶ τόπον ἐφ᾽ τίνα καὶ σκοτεινὸν; ἐκ῀ν καὶ γυναῖκες αἰσχραὶ καὶ ῥυπαραὶ δοκ῀σι συνεῖναι; καὶ μάλα ἔφη —— ἐκ῀ν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνή τις ἑς῀ καλὴ καὶ καθε-σηκυῖα τὸ πρόσωπον; —— ἐμφαίνει ὅτ῀ς ἔχειν. *Cic.* Tuſc. V. 5. Nempe negas, ad beate vivendum ſatis eſſe vir-

1 Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται πλέξαν-
2 τες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον
3 αὐτόν. Καὶ ἔλεγον· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. Ἐξῆλ-
4 θεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε
5 ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέ-
6 φανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐ-
τὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρω-
σον +. λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐκ
7 εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ
8 τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν — τοῦ Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν
9 ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη. Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ
10 λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ
ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω
ἀπολῦσαί

+ αὐτὸν

3. ἐδίδουν] ἐδίδουν K. 56. 58. ἐδίδοσαν L 1. *Cyrillus. Euſtathius* in Od. ξ. p. 543. 43: ὃ δὴ καὶ οἱ τῇ Ἀσιανῇ χαίρουσι φωνῇ ποιοῦσι, τὸ ἔφυγον καὶ ἦλθον παρενθέσει τοῦ αν συλλαβῆς ἐφύγοσαν λέγοντες, καὶ ἦλθοσαν, ὅτω δὲ καὶ τὰ ὅμοια. & p. 546. 6. ex Ariſtophane Grammatico. παραδίδωσι τε ὁ ὅτι τὸ ἐσχάζοσαν παρὰ λυκόφρονι, ὁ παρ' ἄλλοις τὸ ἐλέγοσαν, καὶ τὸ οἶδε πλησίον γενομένων φεύγοσαν, φωνῆς χαλκιδέων ἰδίας ἐστίν. *Exod.* XIX. 1. *Pſal.* LXXIX. 1. *Chœroboſcus.* ἐδίδουν ἰσέον, ὅτι ὁ Ἡρωδιανὸς τὸ ἐδίδουν λέγει· ἡ δὲ παράδοσις διὰ τοῦ ι, διφθόγγῳ ἐδίδευ· ἀπὸ τοῦ διδῶ, διδοῖς ὡς χρυσῶ, χρυσοῖς, ἐχρύσουν. *Rom.* III. 13.

4. ἐξῆλθεν οὖν] καὶ ἐξῆλθεν AKL 15. 27. 33. 42. Verſio *Syr. Cyrillus.* ἐξῆλθεν D 1. 59. 106. Evang. 15. Verſio *Copt.* probante *Bengelio.* πάλιν] — Verſio *Goth.* Codices *Lat. Theophylactus.*
ἔξω prius] — 60. 73. 87. 106. Verſio *Copt.* ἔξω ὁ Πιλάτος] ὁ Πιλάτος ἔξω 44. 69.
ὑμῖν] — 51. οὐ αὐτῷ ἐδεμίαν] ἐδεμίαν οὐ αὐτῷ A.
οὐ αὐτῷ ἐδεμίαν αἰτίαν ἐυρίσκω] αἰτίαν ἐν αὐτῷ ἐχ ἐυρίσκω 78. ἐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ 1. 73. *Chryſoſtomus, Cyrillus.* ἐδεμίαν αἰτίαν ἐν αὐτῷ ἐυρίσκω 44. Sup. XVIII. 29.
ἐδεμίαν αἰτίαν ἐυρίσκω] ἐχ ἐυρίσκω αἰτίαν 69.
5. οὖν] — Evang. 7. & alii.
ὁ Ἰησοῦς ἔξω] ἔξω ὁ Ἰησοῦς 1. 73. 106. Verſio *Goth. Copt.* ὁ Ἰησοῦς Verſio *Vulg.*
φορῶν] ἔχων 1. Colb. λέγει] + ὁ Πιλάτος 64. Verſio *Copt. Syr.*
αὐτοῖς] τοῖς Ἰουδαίοις Evang. 7. ἴδε] ἰδοὺ L. 1. 33. Editio *Eraſmi, Colinaei. Cyrillus.*
6. ὅτε] ὅταν 1. ἴδεν αὐτὸν] ἴδεν αὐτὸν ὁ ἐχλος καὶ 78. 91.
καὶ οἱ ὑπηρέται] — 71. + τῶν Ἰουδαίων 69. λέγοντες] — 91.
σταύρωσον posterius] + αὐτὸν ADEKM 2. 4. 5. 6. 9. 10. 11. 12. 16. 29. 33. 34. 35. 37. 38. 39. 40. 44. 45. 46. 47. 48. 49. 51. 53. 54. 55. 56. 57. 58. 59. 60. 61. 62. 63. 64. 65. 66. 68. 69. 71. 72. 76. 78. 80. 83. 86. 90. 91. 95. 96. 97. 106. Evang. 6. 7. 9. 10. 12. 13. 14. 15. 16. 18. 19. 20. 24. Editio *Complut. Plantin. Bengelii. Genev.* Verſio *Vulg. Goth. Syr.* utraque, *Copt. Armen. Chryſoſtomus, Theophylactus.*
αὐτὸν ὑμεῖς] ὑμεῖς αὐτὸν D. 7. ἀπεκρίθησαν] + ὅτι 73. Codices *Latini.*
αὐτῷ] — 1. Codices *Latini.* Ἰουδαῖοι] + καὶ εἶπον 69. Codices *Latini.*
ἡμῶν] — DL Verſio *Vulg. Origenes* in Jo. XI. 55. probante *J. Millio* prol. 434.
ἑαυτὸν] + τὸν Editio *Eraſmi, Colinaei.*
ἑαυτὸν υἱὸν τοῦ Θεοῦ] υἱὸν Θεοῦ ἑαυτὸν M. 1. 69. Editio *Complut.* Verſio *Vulg. Cyrillus, Origenes* l. c. ἑαυτὸν Θεοῦ υἱὸν 3. 12. 44. 72. 74. 78. 86. 88. 97. Colb. duo Ev. 6. 24. Verſio *Goth. Theophyl.* prob. *Bengelio, Camerario.* τοῦ] — ADM 1. 3. 72. 74. 78. 83. 85. 86. 88. 90. 97. 106. Evang. 6. 24. Editio *Eraſmi. Complut. Colinaei, Bogardi, Stephani, Plantini. Theophylactus. Cyrillus, Chryſoſtomus.* 8. ὅτε] ὡς 69.
ὁ Πιλάτος τοῦτον τὸν λόγον] τοῦτον τὸν λόγον ὁ Πιλάτος 69. τοῦτον τὸν λόγον] τούτων τῶν λόγων H.
μᾶλλον] + δὲ 69. 9. εἰσῆλθεν] εἰσῆλθον D.
10. οὖν] — A. 51. 60. 69. 71. 87. Evang. 13. 15. 19. 20. 24. Verſio *Syr. Copt. Cyrillus.* probante *Bengelio. J. Millio* prol. 1428. αὐτῷ] — Evang. 7.
ἐμοὶ οὐ λαλεῖς] transfert in finem commatis 69, praefixo καὶ. ab ἐξουσίαν ad ἐξουσίαν] — 96.
σταυρῶσαί σε ℭ ἐξουσίαν ἔχω ἀπολῦσαι] ἀπολῦσαί σε, ℭ ἐξουσίαν ἔχω σταυρῶσαι A. Verſio *Syr.*

virtutem? Prorſus nego.

εἰς τοῦτο γεγέννημαι] *Gal.* IV. 24. 2. *Pet.* II. 12. *Terentius* Adelph. IV. 2. 5. Quid hoc, malum, infelicitatis nequeo ſatis decernere, Niſi me credo huic natum eſſe rei, ferundis miſeriis. *Donatus:* huic rei pro ad hanc rem. *Curtius* X. 7. In eadem domo familiaque imperii vires remanſuras eſſe gaudebant; haereditarium imperium, ſtirpem regiam vindicaturam, adſuetos ſe nomen ipſum colere venerarique, nec quenquam id capere, niſi genitum ut regnaret. *Seneca* Epiſt. XC. Nemo naſcitur artifex. Non dat natura virtutem. Ars eſt bonum fieri. — Virtus non contingit animo niſi inſtituto & edocto, & ad ſummum adſidua exercitatione perducto. *Ad hoc* quidem, ſed ſine hoc *naſcimur. Euripides* Hippolyt. 1298. ἀλλ' εἰς τόδ' ἦλθοι παῖδες ἐκδίκῃσι φρένα.

ὁ ὢν ἐκ τῆς ἀληθείας] *Rom.* II. 8.

2. *Thomas.* ἀλεργὸν, ὃ πορφυροῦν. Λιβάνιος ἐν τῷ ὑπατικῷ· ἐν θρόνοις βασιλικοῖς, ἢ τοῖς ἀλεργοῖς ἐσθήμασι.

5. *Varinus.* φόρεον, ὁ ποιητικῶς λέγεται φορέω. vid. *Matth.* XI. 8.

Act. XXV. 24.

10. *Ulpianus* in L. *nemo* 37. D. L. 17. *de regulis juris:* Nemo, qui condemnare poteſt, abſolvere non poteſt. *J. Paullus* in L. XLII. 1. 3. D. de re judicat. Qui damnare poteſt, is abſolvendi quoque poteſtatem habet. *Galen.* de Theriaca. τῶν ἀφ-

ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι 11
δεδομένον ἄνωθεν. Διὰ τοῦτο ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζή- 12
τει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύ-
σῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καί-
σαρι.

11. ἀπεκρίθη] + αὐτῷ DL 1. 33. Versio *Syr.* Codices *Latini. Cyrillus.*
ὁ prius] D. 44. 72. 90. 106. Evang. 6. Editio *Complut. Bengelii. Genev.* Ἰησοῦς] + ⊖ εἶπεν αὐτῷ 69.
εἶχες] ἴσχυες ADL 87. οὐδεμίαν] — 80.
οὐδεμίαν κατ' ἐμοῦ] κατ' ἐμοῦ οὐδεμίαν D. 1. σοι δεδομένον] δεδομένον σοι D. μείζονα] μειζον 71.
12. ἐκ τούτου] ⊖ ἐκ τούτου Versio *Vulg. Syr.* + ἔν 1. 69. Colb. Evang. 14. 15. Versio *Copt.*
ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι] ὁ Πιλάτος ἀπολῦσαι ἐζητει 69.
αὐτὸν] τ̄ Ἰησοῦν 69. 71. Evang. 14. 15. 20. δὲ] ἔν Evang. 13.
ἔκραζον] ἐκραύγασαν D. 15. 16. 33. 69. Evang. 20. ἐκραύγαζον AM 1. 38. 42. 57. 69. 78. 106. Ev. 7. & alii. Codices *Latini. Origenes* in Jo. XI. 55. ἐκρυάζον L. etiam ante.
λεγοντες] — 71. Evang. 18. Versio *Syr.* τῷ] — D.
τῷ Καίσαρος] τῷ Καίσαρι 96. πᾶς] + ὃς D. 106. Versio *Vulg. Syr. Copt.*
αὐτὸν] ἑαυτὸν ADEGM. 1. 2. 9. 69. 72. 78. 80. 83. 85. 86. 97. Evang. 2. 6. 9. 10. 12. 13. 14. 15. 16. 17. 24. Editio *Complut. Plantin. Genev. Bengelii. Cyrillus, Theophylactus.* τῷ] — 1.
13. ὁ οὖν] τότε ὁ 78.
τοῦτον τ̄ λόγον] τούτων τ̄ λόγων DEL 1. 2. 4. 6. 9. 34. 36. 37. 38. 39. 72. 74. 85. 90. 96. 97. Evang. 2. 16. 24. Versio *Vulg. Copt. Justinus* Q. 65. τ̄ λόγων τούτων AM 15. 78. τ̄ λόγον τοῦτον *Cyrillus.*
ἐκάθισεν] ἐκάθησεν Evang. 6. τοῦ] — AD 1. 74. *Cyrillus.*
λεγόμενον] ὃς λέγε 1. δὲ] — D.
Γαββαθᾶ] Γαββαθᾶ HL 2. 16. 35. 36. 37. 38. 40. 44. 72. 74. 2 prima manu. 76. 80. 83. 86. 89. 90. Codices plurimi, teste Millio. Evang. 9. 13. 14. 15. 17. Editio *Complut. Bengelii.* Versio *Syra* posterior. καπφαθᾶ 1. Colb.
14. δὲ posterius] — 52. 56. 58. 68. 70. Evang. 16. Versio *Vulg. Cyrillus, Theophylactus.* probante *J. Millio* prol. 1443. + ἦν Colb. ἦν AL 1. 29. 33. 35. 40. 42. 47. 48. 53. 59. 61. in ora. 62. 64. 69. 83. 91. Evang. 2. 9. 12. 14. 17. 19. 21. Versio *Syr. Petrus Alex. Cyrillus.* prob. *J. A. Bengelio, J. Millio* 1428.
ὡσεὶ] ὡς AEK 44. 46. 47. 52. 57. 61. 65. 72. 80. 85. 88. 96. 97. 106. Evang. 21. probante *J. Millio* prol. 1443.
ἕκτη] τρίτη DL 72. 88. *Petrus Alex.* (in Chronico *Alex.* p. 5. & 219. cujus tamen fragmenti Petrum, qui sub Diocletiano passus est, autorem non esse docet *Petavius* in praef. Uranolog. & de D. T. p. 2. l. 20. c. 29.) ὥρα ἦν ὡσεὶ τρίτη· καθὼς τὰ ἀκριβῆ ἀντίγραφα περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ εὐαγγελιστοῦ, ὅπερ μέχρι τοῦ νῦν πεφύλακται

ἀρχόντων τινος, ἐξουσίαν θανάτου καὶ ζωῆς ἔχοντες. *Sirac.* IX. 13. *Jac.* IV. 12.

11. δεδομένον ἄνωθεν] *Ælianus* N. A. IX. 30. καὶ ταῦτα μὲν λεόντων ἐστὶν ἴδια δῶρα φύσεως, ἄνωθεν αὐτοῖς δοθέντα. . . . Non constituitur homo gubernator hic inferius, nisi proclamaverint de eo superius. *Ro.* XIII. 1.

μείζονα ἁμαρτίαν] Vulgo putant, hic comparari peccatum Judaeorum peccato Pilati: at nec Pilatus videtur ita intellexisse, neque Christus alias quicquam dixit, quod Pilatum hominem irasci facilem irritare atque offendere posset; nedum ut illum peccati nondum perpetrati accusaret. Comparatur ergo, nisi fallor, peccatum Judaeorum cum suis circumstantiis, cum eodem peccato sine istis circumstantiis; hoc Judaeos aggravat, eosque atrocioris delicti reos agit, quod non per tumultum sed per Praesidem, idque specie juris, me quaerunt de medio tollere. *Vita Ignatii* in VIII. Synodo CP. ἀεὶ γὰρ φθόνον φθόνῳ καὶ κακίαν ἐπισυνάπτων τῇ κακίᾳ, ἠγωνίζετο σπουδῇ πάσῃ καὶ μηχανῇ, οὐ θανατῶσαι μόνον, ἀλλὰ τὸ τύπου χεῖρον καὶ ὡς θανάτου ἄξιον αὐτὸν ἀνελεῖν. *Matth.* XXIII. 14.

12. φίλος τοῦ καίσαρος] 1. *Macc.* X. 65. XI. 26. 27. 2. *Macc.* VIII. 9. Legati, Praesides, praefecti, consiliarii, amici Caesaris dicebantur. *Plinius* Ep. X. 22. Trajanus — ad Pompejum Plantam, Praefectum Ægypti, amicum meum. *Arrian.* Epictet. III. 4. τῷ δ' ἐπιτρόπῳ τῆς Ἠπείρου — σε, ἔφη, βλέποντες τὸν αὐτῶν ἄρχοντα, καὶ καίσαρος φίλον, καὶ ἐπίτροπον. 26. τί οὖν τὸ κακόν ἐστι τοῦτο καὶ βλάβερον καὶ φευκτόν, λέγω, τὸ Καίσαρος μὴ εἶναι φίλον; ὅταν δὲ γένηται Καίσαρος φίλος. vid. in *Matth.* XXII. 22. *Seneca* de Benefic. VI. 33. Consuetudo ista vetus est regibus, regesque simulantibus, populum amicorum describere. *Justinus* I. 4. 6. Natus infans datur occidendus Harpago, regis amico, & arcanorum participi. 7. 18. quo facto & amicum in adulterium uxoris sollicitatum hostem sibi fecit. 9. 7. ad hoc tam crudele ministerium magum quendam ex amicis delegit. XII. 15. 8. Cum deficere eum amici viderent. XXXIV. 3. 3. Cum cunctari eum videret, consultationemque ad amicos referre. *Cic.* Ep. F. XV. 2. Monui regem, ut omnem diligentiam ad se conservandum adhiberet: amicosque in patris ejus atque avi judicio probatos hortatus sum, regis sui vitam — omni cura custodiaque defenderent. *Cornelius Nep.* Miltiad. III. 2. Darius — amicis suis oppida tuenda tradidisset. *Spartianus* Hadr. 18. Cum judicaret, in consilio habuit non amicos suos aut comites solum, sed jureconsultos. *Inscriptio*, C. Sentio Severo Quadrato C. V. Conf. Amico & comiti Aug. *Curtius* IV. 1. 19. singulis amicorum Alexandri adulantes. *Sueton.* Tiber. 55. Super Veteres amicos ac familiares XX. sibi e numero principum civitatis depopposcerat, velut consiliarios in negotiis publicis. *Esth.* I. 3. 13. II. 18. VI. 9. L. ult. *de offic. praefecti Vigilum* D. I. 15. 4. ad Fabium Cilonem, praefectum urbi, amicum nostrum. l. 1. §. *si quis de Appellat.* D. XLIX. 1. 1. 4. ad Junium Rusticum amicum nostrum, praefectum urbi. l. 1. c. *si mancipium ita venierit* C. IV. 56. 1. Praefectus urbi amicus noster. l. 1. 18. 4. C. *de jur. & fact. ignor.* Diocletianus — ostende hoc apud Correctorem V. C. amicum nostrum. *Cod.* VIII. 38. 4. Domitii Ulpiani praefecti annonae Jurisconsulti amici mei. *Plut.* de tranquillit. animi p. 471. E. οὐ γὰρ πλούσιοι μόνον ὁμῶ καὶ λόγιοι καὶ ἰσχυροὶ καὶ συμποτικοὶ καὶ ἡδεῖς εἶναι, καὶ φίλοι βασιλέων, καὶ πόλεων ἄρχοντες ἀξιοῦσιν.

13. λε-

13 σαρι. Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ
14 τοῦ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν.

Οἱ

